V. 443. Codd. Lips. *ἔχω* pro *ἅχω*. V. Suid. in *ἅχω*. Ibidem libri omnes *τήνδ᾽ ἀλιπαρῆ τρίχα*, quam scripturam non solum Hesychius et Suidas agnoscunt in v. *ἀλιπαρῆ* et *ζῶμα*, sed etiam Eustathius p. 787, 50. 874, 32. (700, 49. 849, 8.) apud quem in posteriore loco scriptum *θρὶξ ἀλιπής*. Suidae verba, *ἀλιπαρῆ, ἀντὶ τοῦ αὐχμη-*

καὶ ζῶμα τοὐμόν, οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προςπιτνοῦσα, γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν·
καὶ παῖδ᾽ Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ᾽ ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐμὸν ἀφνεωτέραις

ράν, ἣ λιπαρῆ, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, lucem accipiunt ex his scholiastae: *ἐν δὲ τῷ ὑπομνήματι, λιπαρῆ, ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.* Brunckius, quem sequuti Erfurdtius et Schaeferus, *τήνδε λιπαρῆ* edidit, barbarum ratus *ἀλιπαρῆ*, quod librario alicui, qui *λιπαρὴς* et *λιπαρὸς* confuderit, debeatur. Et sane in hunc errorem Eustathius incidit. Comparat Brunckius v. 1378. suae ed. ubi est, *ἥ σε πολλὰ δὴ ἀφ᾽ ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερί.* Quum bonam auctoritatem habeat *τήνδε λιπαρῆ τρίχα* a commentariis istis, in quibus veterum criticorum lectiones memorabantur atque explicabantur, non est cur hanc lectionem spernamus. Sed tamen defendi potest etiam *ἀλιπαρῆ*, modo ea vox significari putetur comam non accommodatam supplicationi, ut quae non satis compta atque nitide habita sit. Apte comparavit Wunderus Electrae verba apud Euripidem v. 183. *σκέψαι μου πιναρὰν κόμαν καὶ τρύχη τάδ᾽ ἐμῶν πέπλων.*

V. 444. Eustath. p. 1835, 52. (Od. 653, 44.)

V. 446. MSS. Lips. *εἰς ἐχθροὺς αὐτόν.* Porsonus praef. ad Hec. p. 34. videtur *ἀρωγὸν ἡμιν αὐτὸν*, vel *ἀρωγὸν αὐτὸν ἡμιν* legendum putasse.

V. 448. *Ἐξ ὑπερτέρας χερός*, victrici manu.

V. 449. Eustath. p. 623, 60. 1769, 53. (477, 8. Od. 557, 43.)

χερσὶ στέφωμεν, ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυςπρόςοπτ' ὀνείρατα.
ὅμως δ', ἀδελφή, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἀρωγά, τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.

ΧΟΡΟΣ.

πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δέ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.

ΧΡΥΣΟΘΕΜΙΣ.

δράσω. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

V. 454. Male Tricliniani *κἀμοί τ'*.

V. 458. Apud Stobaeum Serm. XI, 9. Grotius ex Scaligeri coniectura *λόγοιν* edidit. Affert etiam Suidas v. *λογισμός*. »Collocatio verborum diffi»cilis; fortasse hunc in modum expedienda: *οὐ* »*γὰρ ἔχει λόγον δυοῖν ἐρίζειν* (*πρὸς*) *τὸ δίκαιον*.« Maltby ad Morell. p. 856. Nihil hic difficultatis: *τὸ δίκαιον*, inquit, *οὐκ ἔχει λόγον ἐρίζειν δυοῖν*. Quod iustum est, non habet rationem, quare quis cum duobus contendat, i. e. quare ego Electrae et vobis cedere nolim.

V. 459. Stobaeus Serm. XI. 9. *ἐπισπεύδει*, male, nec debebat hoc Erfurdtius contra omnes libros recipere. Vide ad v. 72.

V. 468. Erfurdtium, qui *τῶνδε* pro *τήνδε* po-

ΧΟΡΟΣ.

Εἰ μὴ 'γὼ παράφρων στρ. α'.
μάντις ἔφυν, καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα χεροῖν κράτη·
μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θράσος,
ἁδυπνόων κλύουσαν

---

suerat, merito notavit Schaeferus, allato Ai. 289. Plurima huiusmodi apud tragicos sunt.

V. 464. Non putavi mutandam esse vulgatam versuum distinctionem, ut quae idoneas rationes habere videatur. Vide Elem. doctr. metr. p. 435. Monkius ita putat hos versus disponendos esse:

εἰ μὴ 'γὼ παράφρων μάντις ἔφυν, καὶ
γνώμας λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα χεροῖν κράτη.

Primos si recte, malim hic *καί*, in antistropha autem *ἁ* abesse. De postremis assentior. Vulgo:

Δίκα δίκαια φερομένα
χεροῖν κράτη· μέτεισιν, ὦ
τέκνον, οὐ μακροῦ χρόνου.

Εἰ μὴ ἐγὼ in antiquis codd. et edd. bene scriptum.

V. 470. *Θράσος* Triclinio debetur, qui id pro librorum scriptura *θάρσος* in veteri codice se reperisse dicit. Vide Elmsleium ad Eurip. Med. 456.

V. 471. Erfurdtius *ἁδυπνόων* aut epitheton perpetuum esse, aut *ἁδύπνοον* scribi vult, com-

ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπλακτος
ἀμφήκης γένυς,
ἅ νιν κατέπεφνεν αἰ-

---

parationemque a ventis repetitam putat. Ἀδύπνοον sane non displiceret: sed ἀδυπνόων, quod libri omnes habent, non videtur sollicitandum esse. Sed si id esset epitheton perpetuum, repetitum a spiritu dormientium, ut πνέοντα ὕπνῳ dixit Aeschylus Choeph. 619. non esset eo apte usus poeta ad Clytaemnestrae somnium describendum, quod minime fuerat cum suavi et placido somno coniunctum. Itaque recte Triclinius interpretari videtur εὐφραντῶν ἡμῖν, i. e. quae audientes amicos Agamemnonis quasi suavi quadam aura afflant. Accusativum κλύουσαν cum dativo constructum illustravit ad h. l. Brunckius. Adde Elmsleium Addend. ad Eurip. Heracl. 693. Livineii Ms. v. κλυούσῃ.

V. 473. Non dixerim male, etiamsi praeter necessitatem, Wakefieldium in Silv. crit. Tom. III. p. 93. coniecisse ἀμναστεῖ σ' ὁ φύσας. Ἀμνηστεῖ γ' etiam Suidas v. ἀμνηστεῖ.

V. 475. Χαλκόπλακτος e cod. Ienensi recepi pro χαλκόπληκτος. De activa significatione huiusmodi nominum v. Pors. ad Eur. Hec. 1125. Cod. Monac. χαλκόπλητος.

V. 477. Parum firmo auctore Hesychio, apud quem est ἀμφάκης, ἀξίνη, Brunckius, hunc ab illo locum respici ratus, ἀμφήκης, quod libri habent, in ἀμφάκης mutavit. Nam cod. Hesychii ἀμφακλῆς habet, ut aliud ille, quam hoc Sophoclis, spectasse videatur.

σχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους ἀντιστρ. ά.
καὶ πολύχειρ, ἁ δεινοῖς
κρυπτομένα λόχοις,
χαλκόπους Ἐρινύς.
ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων
γάμων ἁμιλλήμαθ', οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ' ἔχει,
μήποτε, μήποθ' ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νύ-

V. 478. Porsonum *αἰκείαις* scribi voluisse observant editores Adversariorum eius p. 209. In hac voce altera tantum terminatio videtur in usu fuisse, producta penultima. Vide ad Oed. Col. 752.

V. 482. Eustath. p. 763, 38. (668, 12.) Suidas v. *χαλκόπους*.

V. 483. *Ἐπέβη* Suidas v. *ἄλεκτρα*, et Zonaras p. 130. s.

V. 485. Aug. C. *πρὸ τῶνδέ τοί μ' ἔχει θάρσος*. Vltima vox ex interpretatione adiecta. Non est omissum hic nomen, quale est *ἔννοια*, sed ipsa illa cogitatio sequentibus verbis expressa est. Vide ad Viger. p. 878. Similiter, nisi quod *τόδε* addidit, quia praecesserat, quam innuit, sententia, Aeschylus Prom. 534. *ἀλλά μοι τόδ' ἐμμένοι, καὶ μήποτ' ἐκτακείη*. Alia exempla vide apud Reisigium Comm. crit. in Oed. Col. p. 242.

κτὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν — στρ. β'.
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,

V. 493. *Κατασχήσει*, comparatione a navibus ducta, quae appellentes littus obtinent, dictum est.

V. 494. Musgravius, quod chorus ad boni eventus spem animum erigere coeperit, alienam putat hanc alteram carminis partem. At is ipse bonus eventus quum non possit sine caede contingere, aptissime chorus etiam ad atrocitatem animum advertit, quae inde a Myrtili caede in gente Pelopidarum saevierat. Sunt autem haec non epodus, sed antistrophica, ut indicatum in Elem. doctr. metr. p. 234. ex versibus iambicis ischiorrhogicis et uno monometro Cretico.

V. 495. Triclinius hic et v. 505. *πουλύπονος* metri ignoratione scripsit. Valckenarius in exemplo ed. Iohns. quod possideo, adscripsit: »egregia Eustathius Il. β. p. 189. pene tota: inde hic leg. f. *πολύποινος*.« Respexit haec p. 184, 1. ed. Rom. *καὶ ὁ μὲν κατέβαινε θανούμενος ταύτην εὑρὼν ποινήν, οἷς τὸν δεσπότην Οἰνόμαον ἔσφηλεν*: et v. 8. *καὶ εἰς τοὺς ἐπιγόνους παραπέμπει τὰς ποινάς*. Totam illam narrationem Eustathius non suis, sed alius scriptoris, et quidem non veterrimi cuiuspiam verbis videtur referre.

V. 496. Non opus, ut *αἰανὴ* cum Erfurdtio de diuturnitate intelligatur, et non potius gravem putetur significare. Vide de hoc vocabulo ad Aiacem v. 657.

παγχρυσέων δίφρων ἀντ. β'.
δυστάνοις αἰκίαις
πρόῤῥιζος ἐκριφθείς,
οὔ τί πω
ἔλιπεν ἐν τοῦδ' οἴκου
πολύπονος αἰκία.

V. 500. Scripsi παγχρυσέων. Libri παγχρύσων.

V. 502. »Ἐκριφεὶς Suidas v. πρόῤῥιζον· monstratus a Toupio III. p. 88. ἐκτριφθεὶς Reisk. p. 15. recte. Herodot. VI, 86, 4. Eurip. Hipp. 684. ubi Valcken. Procop. Hist. Arc. c. 23. apud Suid. v. ἐπιβολή. Polluc. VI. 80.« (immo V. 80.) »Plutarch. T. II. p. 13. A.« Porson. Advers. p. 209. Sane tritissima loquutio est πρόῤῥιζον ἐκτρίβειν, sed ob id ipsum non putem Sophocli restituendam, apud quem etiam Aug. b. et margo Turnebi ἐκριφεὶς habent, praesertim quum deiectus e curru in mare fuerit Myrtilus: ἐκ δίφρου ἔῤῥιψε, ἐκ τοῦ ἅρματος ῥίψας verba sunt scholiastae Eurip. ad Orest. 970. ed. Matthiae, ipsius autem Euripidis, διεδίφρευσε, Μυρτίλου φόνον δικὼν ἐς οἶδμα πόντου; Eustathii porro p. 183, 38. καταῤῥίψας τοῦ ἅρματος, et v. 46. βάλλει κάτω κάρα. Nam quod Reiskius ait, πρόῤῥιζος stare non posse, si ἐκριφθεὶς legatur, non quadrat in poetam; quin ne in prosae quidem orationis scripto tam exili diligentia opus esse ostendit τελευτᾶν πρόῤῥιζον, apud Herodotum III. 40. Ac noster infra v. 755. πρόῤῥιζον ἔφθαρται.

V. 503. Sensus pariter ac metri caussa οὔ τί πω pro οὔ τίς πω scripsi.

V. 504. Ἔλιπεν Aug. C. ex correctione, et Mosc. 2. ac Monac. quod recipi. Caeteri libri ἔλειπεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφει.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ', ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπει
ἐμοῦ γε· καί τοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας, ὡς θρασεῖα, καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεί,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη,

V. 506. Apud Eustathium p. 168, 36. (127, 43.) legitur *τρέφῃ*. Vulgatum servat Suidas v. *ἀνειμέναι*.

V. 512. Brunckius, Erfurdtius, Schaeferus comma post *ἄρχω* sustulerunt, ut *ἄρχω καθυβρίζουσα* coniungerentur, incipio contumelias. Id reprehendit Monkius, quia ab usu Atticorum abhorreat. Ea re ego quidem, praesertim in poeta, minime offenderer, et similia vide in Matthiae gr. Gr. §. 549. p. 794. qui ipse Sophoclis locum eodem modo interpretatur. Sed hic quidem ego interpunctionem servandam duxi sensus caussa, quia non satis recte copulantur *θρασεῖά εἰμι, καὶ ἄρχω καθυβρίζουσα*, quae diversissima sunt; recte autem iunguntur, quae similia, *θρασεῖά εἰμι, καὶ πέρα δίκης ἄρχω*. Illud *πέρα δίκης ἄρχειν* quid sit, explicatur verbo *καθυβρίζουσα*.

V. 515. Suidas v. *πρόσχημα*.

ἢ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες·
ἐπεὶ πατὴρ οὗτος σὸς, ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥςπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν· δίδαξον δή με, τοῦ, χάριν τίνος

V. 518. Triclinii recensio *εἶλε, κοὐκ ἐγὼ μόνη*. Et sic cod. Ien. Monac. et Aug. c. nisi quod hic *εἶλεν*.

V. 520. Suavioris soni caussa, sed debilitata vi verborum, Erfurdtius dedit *πατὴρ σὸς οὗτος*.

V. 522. s. *Οὐκ ἴσον ἐμοὶ, ὥςπερ ἡ τίκτουσ' ἐγώ*. Constructio satis insolens. Ex regula scripturus erat: *ἐμοὶ τῇ τικτούσῃ*. Schaefer. Immo in mente habebat, *οὐκ ἴσον καμὼν ἐμοὶ, ὅτ' ἔσπειρεν, ὥςπερ ἐγὼ, ὅτε ἔτικτον*. — Hoc meum immo graviter offendit Schaeferum, qui in adnotationibus ad Demosth. T. I. p. 809. parum se intelligere ait, cur mihi correctionis indigere visa sint quae scripserit. At id in promptu esse putabam. Nam illi *ὅτ' ἔσπειρ'* opponendum erat aut *ἐμοὶ ὅτ' ἔτικτον*, aut, quod idem est, *ἐμοὶ τικτούσῃ*, non *ἐμοὶ τῇ τικτούσῃ*, quia eius, quae parit, etiam alii dolores esse possunt, quam quos pariendo sentit. Atqui hic partus dolores dici apertum est. Itaque omnino, si plene enuncianda atque explicanda est sententia, dicendum est, *ὥςπερ ἡ τίκτουσ' ἐγὼ, τίκτουσα*, vel *ὥςπερ ἡ τίκτουσ' ἐγὼ, ὅτ' ἔτικτον*. Id ita esse, ex librorum Triclinianorum scriptura, *ὥςπερ ἡ τεκοῦσ' ἐγώ*, etiam clarius intelligitur, quod ea necessario postulat ut praesens *τίκτουσα* cogitando addatur.

V. 524. Aug. b. ex Triclinii recensione *τοῦ χάριν τίνων*. Scholiastes cod. Bar. *ἤγουν τίνος χά-*

ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ', οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;

ριν ἀποδιδοὺς ἐθυσίασεν; τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν ἀποδιδούς. ἔστι δὲ μετοχή, καὶ οὐ γενικὴ πληθυντική. Hoc receperunt ex Turnebiana editores. Ald. Iuntt. et libri a Triclinii mutationibus vacui, nominatim codd. Ven. Aug. c. uterque Lipsiensis, ambo Mosc. τοῦ χάριν τίνος, quorum tres posteriores adscriptam habent adnotationem, ἐκ παραλλήλου τὸ τοῦ καὶ τὸ τίνος. Nam quod Reiskius ait, in cod. Lips. esse πρὸς χάριν τίνος, neque in illo cod. est, quem ipse ante oculos habuit, neque in altero. Vera autem illa scriptura est, si recte distinguatur, τοῦ, χάριν τίνος. Nam τοῦ est idem quod ἀντὶ τοῦ, ut in Aristoph. Nub. 22. τοῦ δώδεκα μνᾶς Πασίᾳ; Duplici cum interrogatione dicit, pro qua re? cuius gratia? Alterum refertur ad acceptum aliquod beneficium, alterum ad eum, cui gratum quid facere voluerit.

V. 527. Signum interrogandi, quod post Μενέλεω erat, tolli vult Passovius. Quod verum iudicavi. Nam ita cohaerent sententiae: πότερον Ἀργείων χάριν ἔθυσεν αὐτήν, ἢ Μενέλεω χάριν ἔκτεινε τὰ ἐμά;

V. 529. Hesiodum sequutus est, ut adnotavit scholiastes, qui praeter Hermionen etiam filium Nicostratum Menelao fuisse dixerat.

ἢ τῶν ἐμῶν Ἄδιης τίν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύςθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

ΗΛΕΚΤΡΑ.

ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ', ὡς ἄρξασά τι
λυπηρόν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος γ' ὕπερ

V. 532. Recte veteres libri ἢ, non ἤ. De accentu in τίν', quem habent codd. Aug. b. c. Lips. a. b. Ald. et alii libri, vide de emend. rat. Gr. gr. p. 67. et Moschopul. Dictt. Att. in littera τ post v. τιθέω.

V. 537. Recte schol. cod. Lips. τῶν τοῦ Μενέλεω παίδων. Schol. Barocc. perperam: ἄρα ὁ πόθος τῶν ἐξ ἐμοῦ παίδων ἠμελεῖτο τῷ πανώλει πατρὶ Ἀγαμέμνονι, τῷ δὲ Μενελάῳ ἐνυπῆρχε πόθος τῶν αὐτοῦ παίδων; Arguit particula μέν, quae, si Μενέλεῳ scriberetur, non isto loco, sed sic deberet posita esse, τῷ μὲν πανώλει πατρί.

V. 539. Suidas οὖν omittit, v. 541—543. afferens in v. δύςθυμος.

V. 544. In Brunckii codice et Aug. c. abest γ'. Pro eo Triclinii recensio et Ven. θ'. Putavi γ' cum Ald. et reliquis melioribus libris servandum esse. Indicat eo Electra, se pro patre tantum ac sorore, non etiam pro se ipsa dicturam esse.

λέξαιμ' ἂν ὀρθῶς, τῆς κασιγνήτης θ' ὁμοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγους
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

ΗΛΕΚΤΡΑ.

καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἴσχιων ἔτι,
εἴτ' οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι,
ὡς οὐ δίκῃ γ' ἔκτεινας· ἀλλά σ' ἔσπασεν
πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινῆς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, θεᾶς

V. 554. Nihil variant libri in verbis τὰ πολλὰ πνεύματ'. Caverunt interpretes, ne in vertendo istud τὰ πολλὰ exprimerent. Silent scholiastae, neque Erfurdtius aliud, quam Iacobsium in Specim. emendd. p. 27. non recte coniecisse τὰ πόμπιμα πνεύματ'. At haec non inelegans est coniectura, modo τὰ πομπὰ scribatur, ut πομπὸν πῦρ dixit Aeschylus Agam. 307. Sed offensionem tamen aliquam haberet articulus, qui rectius abesset. Vulgata nihil aliud significare potest, quam multos illos ventos, qui flabant, vel qui flare solent. Hoc postremum cum natura Euripi congruit, qui locus, si quis alius, ventosus est et procellosus. Vide Livium XXVIII. 6. Sed aptius tamen illi intelligentur venti, qui illo tempore classem Graecorum ad Aulidem retinebant.

παίζων κατ' ἄλσος, ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατασφαγὰς
ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.

V. 557. s. Suidas v. ἐξεκίνησεν, et Zonaras p. 769.

V. 558. Librorum scriptura κατὰ σφαγὰς fecit, ut haererent in hoc loco interpretes. Dura est distinctio, quam Monkius proposuit, οὗ κατὰ σφαγάς, ἐκκομπάσας ἔπος τι, τυγχάνει βαλών, ut σφαγὰς iugulum dicat Electra. Facilius ita distinguas: οὗ κάτα, σφαγὰς ἐκκομπάσας, ἔπος τι τυγχάνει βαλών. Sed multo elegantius est, quod reposui, κατασφαγάς. Wunderus, languere ratus ἔπος τι τυγχάνει βαλών, interpunctionem post ἐκκομπάσας delevit, ut sensus sit περὶ οὗ κατασφαγέντος ἔπος τι κομπῶδες τυγχάνει βαλών. At sic βαλὼν nimis abundanter additum esset. Nihil ego in recepta distinctione languidi video. Nam ἔπος τι dicit, quia veretur repetere dictum illud, ut impium. Sic Hyginus de eodem dicto fab. 98. superbiusque in Dianam est loquutus. Vt Scholiastes Euripidis ad Orest. 659. (647. ed. Matth.) et Tzetzes ad Lycophr. 183. tradunt, ne Dianam quidem sic iaculaturam dixisse ferebatur. Κεράστην ἔλαφον spectare videtur Eustathius p. 1084, 33. (1111, 33.)

V. 560. Eustath. p. 828, 63. (760, 42.)

V. 562. Eustath. p. 697, 36. (578, 8.)

ἀνθ' ὧν βιασθεὶς πολλὰ κἀντιβὰς, μόλις
ἔθυσεν αὐτήν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν, κεῖνον θέλων
ἐπωφελῆσαι, ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰςόρα, μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς

V. 565. Codd. Lips. cum aliis quibusdam *μόγις*, quod abhorrere a tragicorum lingua videtur.

V. 570. 571. Aelianus apud Suidam v. *ὁμοῦ*.

V. 571. Plerique vett. libri hic et 574. *τίθης*, quod Brunckius quum negat soloecum esse, verum quidem est, *μὴ* etiam indicativo coniungi, sed his in versibus coniunctivo opus est, quia intelligit Electra, non esse hanc mentem Clytaemnestrae, ut eiusmodi legem probet, sed consequi tantum dicit, ut probare debeat. Vide Schaeferum in Melet. cr. p. 115.

V. 573. Cod. Ien *πρώτη θάνοις γ' ἄν, εἰ δίκη γε τυγχάνοι*. Etiam Mosc. 2. *θάνοις γ' ἄν*. Ald. Iuntt. et aliquot codd. *τυγχάνεις*.

V. 574. *Τίθης* cum libris nonnullis etiam Suidas in *σκῆψις*. V. ad v. 571.

V. 579. Erigonen Aegisthi filiam memorat Pausanias II. 18, 5 matremque eius diserte in-

κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ᾽ ἔχεις.
πῶς ταῦτ᾽ ἐπαινέσαιμ᾽ ἄν; ἢ καὶ τοῦτ᾽ ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ᾽, ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι, τῆς θυγατρὸς οὕνεκα.
ἀλλ᾽ οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν, ὡς τὴν μητέρα
κακοστομοῦμεν· καί σ᾽ ἔγωγε δεσπότιν,
ἢ μητέρ᾽ οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρόν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.
ὁ δ᾽ ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγών,
τλήμων Ὀρέστης δυςτυχῆ τρίβει βίον·
ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ᾽, εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ᾽ ἴσθι· τοῦδέ γ᾽ οὕνεκα
κήρυσσέ μ᾽ εἰς ἅπαντας εἴτε χρὴ κακήν,
εἴτε στόμαργον, εἴτ᾽ ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,

---

dicat Clytaemnestram Tzetzes ad Lycophr. 1374.

V. 585. Cod. Aug. b. *σοι*. Male. Nam sensus est: at enim ne reprehendere quidem te mihi licitum est.

V. 586. Pauci codd. *ἵης*. Plerique libri cum Ald. Iuntt. *ἵεις*. Brunckius male *ἱεῖς*. V. Porson. ad Orest. 141.

V. 595. Cod. Ven. *εὖ τόδ᾽ ἴσθι*.

V. 596. 597. Suidas v. *στόμαργος*.

V. 598. Eustathius p. 1969, 18. (Od. 846, 33.) *κακῶν* habet pro *ἔργων*, Suidas autem *λόγων* in v. *ἴδριας*.

σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.

ΧΟΡΟΣ.

ὁρῶ μένος πνέουσαν. εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκ ἔτ' εἰςορῶ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισεν,
καὶ ταῦτα τηλικοῦτος; ἆρ' οὔ σοι δοκεῖ

V. 599. Cod. Monac. *καταισχυνῶ*.

V. 600. Scholiastes: *ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις, φησίν, ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστι, τούτου τοῦ μένους φροντίδα οὐκ ἔτι ὁρῶ γιγνομένην ὑπό τινος. εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν. ἀντιλαμβανομένη οὖν ἐκείνη τοῦ λόγου φησί· ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος.* Erudite haec, sed illa, *εἰ δὲ σὺν δίκῃ ξύνεστι*, sic potius explicanda videntur, *εἰ δὲ ἡ Ἠλέκτρα σὺν δίκῃ ξύνεστι τῷ μένει. Τοῦδε* autem non ad *μένος*, sed ad totam rem refertur: video eam furorem spirare: sed an iure se ei dederit, hoc non amplius curari video.

V. 602. Cur Monkius scribendum putet, *ποίας ἐμοί*, non intelligo. Aptissima hic est particula *δέ*, vero. De verbo *δεῖ* cum dativo constructo v. Elmsl. ad Med. 552. not. f. Idem de *γὲ* particula disputavit ad eiusdem fabulae v. 1354. quae hic est in interrogatione posita: de qua re quid sentirem, dixi ad eumdem locum.

V. 605. Schaeferus in Melet. cr. p. 66. *σοι* encliticum ab hac sede trimetri alienum ratus, *οὐ σοὶ* scribi vult. At nec sensui hoc convenit,

χωρεῖν ἄς εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;

ΗΛΕΚΤΡΑ.

εὖ νῦν ἐπίστω τῶνδέ μ᾽ αἰσχύνην ἔχειν.
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ᾽ ὁθούνεκα
ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προςεικότα.
ἀλλ᾽ ἡ γὰρ ἐκ σοῦ δυςμένεια, καὶ τὰ σὰ
ἔργ᾽ ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ᾽ ἐκδιδάσκεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ θρέμμ᾽ ἀναιδές, ἦ σ᾽ ἐγὼ καὶ τἄμ᾽ ἔπη,
καὶ τἄργα τἀμὰ πόλλ᾽ ἄγαν λέγειν ποιεῖ.

ΗΛΕΚΤΡΑ.

σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς

---

nec dubium, ubi *μοι* poni potuerit, ut v. 22. etiam *σοι* potuisse.

V. 606. Suidas v. *ἐπίστω*. De infinitivo cum hoc verbo constructo vide Elmsleium ad Med. 580.

V. 608. Suidas *προςήκοντα* in v. *ἔξωρα*.

V. 612. Moschopulus Dictt. Att. in v. *θρέμματα*.

V. 613. Signum interrogandi, quod in fine huius versus erat, recte sustulit Schaeferus. Plane aliena hic interrogatio est, unice autem aptae minae: profecto nimis multa loquendi tibi occasionem et ego, et mea dicta, et facta mea praebent.

V. 614. 615. Suidas v. *νίν*. Huius formulae exempla afferentem Valckenarium ad Hippol. 852. laudavit Erfurdtius.

τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ', οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.

V. 615. Eustath. p. 1422, 26. (Od. 68, 21.)

V. 617. Musgravius affert Antig. 488. *οὐκ ἀλύξετον μόρου κακίστου.* Oppian. Hal. III. 104. *ἐξήλυξε μόροιο.* Philoct. 1044. *τῆς νόσου πεφευγέναι.* Sane constructio in his eadem, sic illa explicanda, *ἄλυξιν ἔχειν μόρου.* Sed aliter *μόρου ἄλυξιν ἔχειν* dicitur quis, aliter *θράσους.* Alterum enim passive dicitur, mortis effugium, quum quis effugit mortem; alterum active, temeritatis effugium, quum temeritas effugit poenam. De hac explicatione Buttmannus ad Philoct. 1044. sic scribit: »quod recte procedere non puto, »quoniam si verbum aliquod e. g. *φεύγειν* resol»vitur in nomen verbale cum verbo habere »(*φύξιν ἔχειν*) leges cogitandi poscunt ut subie»ctum totius dictionis sit respectu verbi primarii »(*φεύγειν*) aut itidem subiectum: ut *ὁ κάμνων* »*φύξιν ἔχει τῆς νόσου*: aut obiectum, ut *ἡ νόσος* »*φύξιν ἔχει*, i. e. effugi potest. Itaque quando »temeritas effugit, id isto modo exprimi »nequit, nisi aut ita ut temeritas (Electrae) »effugium habeat, poenae scilicet, aut »temeritatis poena effugium habeat, »in gratiam Electrae scilicet. Eorum neutrum »hic est, sed Electra effugium habet. Aut igitur »effugitur; quod nihil est: aut ipsa effugit, »et revera quidem poenam; at haec non memo»ratur, sed eius loco temeritas, *τὸ θράσος.* »Itaque *ἀλύσκω τοῦ θράσους* dictum mihi vide»tur loco consuetioris structurae *ἀλύσκω τὸ* »*θράσος*, hoc autem paulo audacius quidem,

ΗΛΕΚΤΡΑ.

ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρει, μεθεῖσά μοι
λέγειν ἃ χρήζοιμ', οὐδ' ἐπίστασαι κλύειν.

»sed facile intellectu, pro, effugio effectum »temeritatis meae, h. e. poenam.« Haec ille. Quem ego quum ad Philoct. 1033. recte mihi contradixisse scripsi: nam istum genitivum caussae indicem esse, cui vulgo ellipsin voculae *ἕνεκα* adhiberi: hoc volui, sensum esse *θράσους τοῦδε δίκην δώσεις*, verbis pro eo quod animo cogitetur constructis. Nam Buttmanni explicatio admitti non potest, quia nec quomodo *ἀλύσκω τοῦ θράσους* pro *ἀλύσκω τὸ θράσος* dici, nec quomodo *ἀλύσκω τὸ θράσος* significare effectum temeritatis meae effugio possit, apparet. Sed ne reliqua quidem Buttmanni disputatio id, quod ipse voluit, videtur efficere. Nam illud quidem apertum est, *οὐκ ἀλύξεις* ita dictum esse, ut necessario poena sit intelligenda. Quod si, quum Electra dicitur *οὐκ ἔχειν ἄλυξιν*, poenae est effugium intelligendum, necesse est recte dici etiam *τὸ Ἠλέκτρας θράσος οὐκ ἔχειν ἄλυξιν*. Si hoc, licebit etiam effugium, quo temeritas poenam effugit, dicere *ἄλυξιν τοῦ θράσους*, sive plenius, *τοῦ θράσους ἄλυξιν ποινῆς*. Atqui si hoc recte habet, quid impedit, quo minus Electram dicas *τοῦ θράσους ἄλυξιν ποινῆς*, et, quoniam ultima vox sponte intelligitur, *τοῦ θράσους ἄλυξιν οὐκ ἔχειν*, i. e. non habere suae temeritatis a poena immunitatem? Ex his patet, tantum abesse, ut illa mea explicatio cogitandi legibus, quod putabat Buttmannus, repugnet, ut iis maxime sit consentanea. Quamquam, si quaerimus Graeci quo modo verba illa intellexerint, veri similius est eos illud quod supra dixi cogitasse, *τοῦ θράσους δίκην δώσεις*.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;

ΗΛΕΚΤΡΑ.

ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔπαιρε δὴ σὺ θύμαθ', ἡ παροῦσά μοι,
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις

V. 620. *Ὑπ' εὐφήμου βοῆς* Brunckius vertit, male ominatis parcens clamoribus: non male, i. e. silente clamore, sive simpliciter cum silentio. Sic in Oed. Col. 132. *τὸ τᾶς εὐφήμου στόμα φροντίδος ἱέντες. Εὔφημος βοὴ* nihil est aliud quam silentium. Vide similia apud Seidlerum ad Eurip. Troad. 566. Praepositionem *ὑπὸ*, ut apud nos unter, idem esse quod *μετὰ* vel *σύν*, pervulgatum est, neque opus erat exemplis quae in eam rem congessit Blomfieldins. Qui non recte constructionem esse dicit hanc, *οὔκουν οὐδ' ἐάσεις με θῦσαι ὑπ' εὐφήμου βοῆς*. Nam *οὐδὲ* pertinet ad *ὑπ' εὐφήμου βοῆς θῦσαι*: ne cum silentio quidem, i. e. nullis clamoribus turbatam, me sacra facere sines?

V. 624. Eustath. p. 789, 46. (702, 50.)

V. 628. Recte monet Musgravius, *κεκρυμμένην βάξιν* non de submissa voce, sed de ambiguitate et obscuritate dictorum intelligi debere. Neque

ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς, παρούσης τῆςδε πλησίας ἐμοί,
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προςεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεςφόρα·
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς.
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,

---

enim submissa voce precatur deum, sed coram Electra, ut ipsa ait, non audet aperte dicere, quid precetur.

V. 630. Eustath. p. 723, 24. 1439, 3. 1650, 3. (613, 33. Od. 86, 39. 385, 20.)

V. 632. Moschopulus Dictt. Att. in v. *μάτην*.

V. 633. Cod. Monac. *καλῶς* pro *κἀγώ*.

V. 634. Codd Ven. et uterque Lips. *τῇδε νυκτί*, quod non praetulerim.

V. 635. *Δισσῶν ὀνείρων* de ambiguitate somnii intelligendum, ut saepe *διπλοῦς* dicitur, de quo v. Ruhnk. ad Timaeum p. 86. Diversitatem indicat nomen *δισσὸς* in illo Aeschyli, Agam. 125. *δύο λήμασι δισσοὺς Ἀτρείδας*.

V. 636. Schol. *πέφυκεν*.

V. 639. Cod. Mon. *ἐκβαλεῖν μ'*. Id praeferendum putat Reisigius Comm. crit. ad Oed. Col. p. 353. alias huiusmodi repetitiones pronominis commemorans. Ac minime inelegans est illa scriptura.

V. 640. Ex verbis *μὴ ἐφῇς* cogitatione supplendum *δοίης*. Vide ad v. 72.

δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν,
εὐημεροῦσαν, καὶ τέκνων ὅσων ἐμοὶ
δύςνοια μὴ πρόςεστι, ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων,
δὸς πᾶσιν ἡμῖν, ὥςπερ ἐξαιτούμεθα·
τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.

ΠΑΙΔΑΓΩΓΟΣ.

ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς,
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;

ΧΟΡΟΣ.

τάδ' ἐστίν, ὦ ξέν'. αὐτὸς ᾔκασας καλῶς.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ

V. 643. Erfurdtius *οἷς ξύνειμι νῦν εὐημεροῦσα* edidit, quod sensum praebet ab h. l. alienum. Recte libri omnes *εὐημεροῦσαν*, quod additum est ad *ξυνοῦσαν*. Neque aliter Suidas v. *εὐημεροῦσαν*, qui versus hos afferens participio *εὐημεροῦσαν* statim subiicit versum 646. Quae sequuntur, proprie ita dici debebant, *καὶ τέκνοις* (*ξυνοῦσαν*), *ὅσων ἐμοὶ δύςνοια μὴ πρόςεστι*, sed per attractionem *τέκνων ὅσων* iuncta sunt. Id ipsum videtur Lobeckius voluisse ad Aiacem p. 344. Schaeferus *εὐημεροῦσαν καὶ τέκνων* iunxit, copulam transpositam putans, quod valde durum est.

V. 652. Atticum *ᾔκασας* pro *εἴκασας* restituit Brunckius.

V. 653. Schaeferus coniiciebat *τήνδε γ' εἰκάζων*

κείνου; πρέπει γὰρ ὡς τύραννος εἰςορᾶν.

ΧΟΡΟΣ.

μάλιστα πάντων. ἥδε σοι κείνη πάρα.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ χαῖρ᾽ ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς, φίλου παρ᾽ ἀνδρός, Αἰγίσθῳ θ᾽ ὁμοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρήζω, τίς σ᾽ ἀπέστειλεν βροτῶν.

ΠΑΙΔΑΓΩΓΟΣ.

Φανοτεὺς ὁ Φωκεύς, πρᾶγμα πορσύνων μέ-
γα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τὸ ποῖον, ὦ ξέν᾽; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρός, σάφ᾽ οἶδα, προςφιλεῖς λέξεις λόγους.

ΠΑΙΔΑΓΩΓΟΣ.

τέθνηκ᾽ Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.

ΗΛΕΚΤΡΑ.

οἴ ᾽γὼ τάλαιν᾽, ὄλωλα τῇδ᾽ ἐν ἡμέρᾳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.

κυρῶ. Librorum scripturam tuetur Suidas in v. *ἐπεικάζω,* et Zonaras p. 833.

V. 660. V. Eustath. p. 274, 33. (207, 53.) cui Valckenarius addit Valesium ad Exc. Polyb. p. 24.

V. 661. Lips. b. *ποῖον.* Lips. a. *ὁποῖον.*

ΠΑΙΔΑΓΩΓΟΣ.

θανόντ' Ὀρέστην νῦν τε καὶ τότ' ἐννέπω.

ΗΛΕΚΤΡΑ.

ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

σὺ μὲν τὰ σαυτῆς πρᾶσσ' · ἐμοὶ δὲ σύ, ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;

ΠΑΙΔΑΓΩΓΟΣ.

κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων

V. 666. Eustathius p. 702, 4. (584, 14.) affert *νῦν τε καὶ πάλαι λέγω*, quod in Triclinii recensione legitur.

V. 671. 672. Thomas M. *πρόσχημα* interpretans *καλλώπισμα*, affert, *κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κοινὸν Ἑλλάδος πρόσχημα*; ut *ἀγῶνος* cum sequentibus coniunxisse videatur, quod probarunt Oudendorpius, Musgravius, Schaeferus. Scholiastae *ἀγῶνος* ad praecedentia referunt, quos sequitur Brunckius, *Ἑλλάδος* adiectivum esse putans. Recte quidem scholiastae, sed *Ἑλλάδος* substantivum est, *πρόσχημ' ἀγῶνος* autem dictum quasi *πρόσχημα ἀγωνιστικόν*. *Ἄθλων χάριν* dicit, quia non spectatum, sed certatum venerat Orestes. *Κοινόν*, quod Thomae M. codd. et ed. Rom. habet, non praetulerim lectioni, quae est in Sophoclis libris. Suidas v. *πρόσχημα* ab hac voce haec affert.

V. 673. Moschopulus Dictt. Att. in v. *ὄρθιον*.

δρόμου προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰςῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τῇ ἀφέσει τὰ τέρματα,

Male P. Faber in Agonistico I. 30. (Thes. Gronov. T. VIII. p. 1921. C.) ὀρθρίων coniicit.

V. 674. Aug. C. Mosc. 1. Livineii MS. v. et uterque Lips. δρόμου. Hoc praetuli vulgato δρόμον, quod est etiam in Ald. Iuntt. Intelligendum ad δρόμου est κρίσιν. Cursum fuisse primum certaminum, recte adnotavit Triclinius. Sic etiam in Olympiis, et quidem stadii decursio. Olympica autem instituta pleraque recepta esse in Pythiis, ex Pausania X. 7, 3. constat.

V. 676. Libri omnes, δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα. Apud Suidam v. δρόμοις legitur, δρόμῳ δ' ἰσῶσαι τῇ φύσει τὰ πράγματα: sed ex interpretatione, quam addit, manifestum est eum τέρματα scripsisse. Eadem scriptura invenitur ap. Zonaram p. 568. Scholiastes: τινὲς δολιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην, ὅς ἐστιν εἴκοσι στάδια, εἴκοσιν ἐτῶν ὄντα· ὥςτε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο. Haec quidem ridicula interpretatio est. Alius: οἷον οὐκ ἐκλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι κατὰ τὴν αὐτοῦ φύσιν, τῆς νίκης ἔτυχεν. Sic etiam alius apud Iohnsonum: τὰ τέρματα τοῦ δρόμου ἰσώσας τῇ φύσει, ἤγουν ἁρμοδίως τῇ ἑαυτοῦ φύσει δραμών. Hoc quoque quaesitum est et perobscure dictum. In eamdem sententiam alius interpres: ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι, ὡς ἐπὶ τῇ μορφῇ. Qui autem scripserunt, ἀντὶ τοῦ, ὡς θαυμαστὸς ἐπὶ τῇ μορφῇ, οὕτω καὶ τῷ ἔργῳ ἐφάνη. ὡς ἐπὶ τῷ εἴδει, ουτω καὶ ἐπὶ τῷ ἔργῳ· hi nescio an legerint τὰ πράγματα, quae tamen vox interpretatio esse

νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ᾽ ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ᾽ ἴσθ᾽· ὅσων γὰρ εἰςεκήρυξαν βραβῆς
δρόμων, διαύλων, πεντάεθλ᾽ ἃ νομίζεται,

---

videtur. Musgravii coniecturam ad Eurip. Phoen. 1135. *τῇ ᾽φέσει*, i. e. *τῇ ἀφέσει*, receperunt Brunckius, Erfurdtius, Schaeferus. Eadem laus, ait Brunckius, Oresti tribuitur, quam cursori Ariae impertit Antipater Sidonius epigr. XXXIX. *ἢ γὰρ ἐφ᾽ ὑσπλήγγων, ἢ τέρματος εἶδέ τις ἄκρου ἠΐθεον, μέσσῳ δ᾽ οὔποτ᾽ ἐνὶ σταδίῳ.* Sit istud Antipatro dignum; a Sophocle certe alienissimum est, finem dicere initio aequatum a cursore, ut id sit, tam celeriter cursum peregisse, ut vix quidquam temporis inter initium finemque intercesserit. Sed quid cogit his verbis tam ineptum et frigidum acumen inferre, quum simplex et venusta interpretatio in promptu sit. Nam terminum cursus aequare carceribus quid est aliud, quam percurso stadii spatio terminare cursum ibi, ubi coeptus erat? Quae planissima est diauli descriptio. Itaque hoc recipiendum duxi.

V. 679. Recte Ald. Iuntt. et plerique codd. *τοιοῦδ᾽*, neque id ex uno alterove non optimo libro a Brunckio in *τοιάδ᾽* mutari debebat. Pauci codd. male *ἔργ᾽ οὐδὲ κράτη*.

V. 680. *Βραβῆς* pro *βραβεῖς*, quod in libris et apud Suidam in h. v. ac Thomam M. p. 170. est, Brunckius restituit. Pariterque v. 699.

V. 681. Libri omnes, *δρόμων διαύλων πεντάεθλ᾽, ἃ νομίζεται.* Apud Suidam in v. *βραβεῖς* ed. Mediol. *ὅσον γὰρ εἰςεκήρυξαν βραβεῖς δρόμον* (cod. Leid. *δρόμων*) *διαύλων πένταθλ᾽ ἃ*

τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος

νομίζεται. Atque ὅσον δρόμον quosdam scribere memorat Triclinius. Sic etiam Suidae Ald. Bas. nisi quod πένταλ' habent. Ὅσον etiam cod. Ien. a prima manu Ὅσον τότ' Mosc. 2. Corruptam scripturam, infelicibus coniecturis tentatam, Porsonus in Kiddii Misc. Porson. p. 221. ita corrigendam putabat, δρόμων διαύλων ἆθλ' ἅπερ νομίζεται. In eamdem coniecturam ego quoque aliquando incidi. Ac sane hoc modo et metri vitium, et illa dubitatio removetur, quam habent δρόμων διαύλων πένταθλα. Nam quis πένταθλον δρόμου dicat, quum ipsa haec vox πένταθλον diserte non unum, sed plura certamina intelligi postulet? At manent duae aliae, eaeque gravissimae dubitationes. Primo enim non apparet, unde et librarii et scholiastae hic in πεντάεθλα incidere potuerint, nisi aliquid, quod ei rei ansam praeberet, in textu fuisset. Deinde, si ἆθλα scribitur, quid aliud, quam, quod plane insolens est, dicetur, una eademque Pythiade saepius diaulo victorem fuisse Oresten? Sed hanc quidem difficultatem nescio an tolli liceat interpretando. Nam quod apud Pausaniam VI. 13, 2. his verbis, quorum initium deest, scriptum legitur: καὶ τέσσαρας, ὡς ἕκαστοι συνταχθῶσιν ὑπὸ τοῦ κλήρου, καὶ οὐκ ἀθρόως ἀφιᾶσιν ἐς τὸν δρόμον· οἳ δ' ἂν ἐν ἑκάστῃ τάξει κρατήσωσιν, ὑπὲρ αὐτῶν αὖθις θέουσι τῶν ἄθλων, καὶ οὕτως σταδίου δύο ὁ στεφανούμενος ἀναιρήσεται, νίκας, ex eo intelligitur, non omnes simul cursores in certamen commissos esse, sed aliquos tantum, quorum qui vicissent, deinde ipsos inter se certasse, et horum demum qui su-

Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.

---

perior evasisset, pro victore esse habitum. Hinc coniiciat quis forsitan, Sophoclem scripsisse, δρόμων διαύλων πεντάδ', ἃ νομίζεται. Neque enim credibile est, quattuor semper commissos esse, quia non semper par numerus erat eorum, qui certare vellent: quare nescio an Pausanias ita scripserit, πέντε ἢ καὶ τέσσαρας, ut usitatus certantium numerus fuerit quinque. Sed haec incerta sunt, omninoque maius quiddam et luculentius dici hic debuit. Audacius in prima editione posui πέντε θ' ὧν νομίζεται. Nunc malui in librorum scriptura acquiescere, quae quamvis et a constructione et a minus Attica forma πεντάεθλα et ab inelegantiore versus numero aliquid dubitationis habeat, tamen explicari potest. Nam pro eo, quod proprie dicendum erat πεντάθλων ἃ νομίζεται, per attractionis figuram πένταθλα ἃ νομίζεται positum videtur, i. e. τῶν ἃ πένταθλα νομίζεται. Quod autem antiqua et poetica forma πεντάεθλα usus est, id eo factum credibile est, quod Attica forma vulgaris haberetur. Caeterum saepius accidisse constat, ut quis uno die plures reportaret victorias, ut ille de quo Pindarus Ol. XIII. 50. Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου θ' ἁλίῳ ἀμφ' ἑνί, μηνός τέ οἱ τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις. Vide etiam Pausaniam VI. 13, 2. et plura apud P. Fabrum Agonist. III. 21. in Gronovii Thes. ant. T. VIII. In Olympiis quidem quinquertium certe ab Ol. LXXVII. non eo die, quo pedestres cursores certabant, sed post cursum equorum est actum, ut e Xenophontis Hist. Gr. VII. 4, 9. et Pausaniae lib. V. 9, 3. constat.

V. 685. Cod. Monac. ἐγείραντος.

καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγών,
εἰςῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος, Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος, λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.

V. 686. 687. Afferunt hos versus Stobaeus Ecl. I. 4. p. 124. apud quem *βλάπτειν* scriptum erat, et Suidas v. *ἰσχύων* et *θεός*, utrubique *δὲ* omittens.

V. 688. Omnino recte Schaeferus monet, *ἱππικῶν* generis neutrius esse. Inepte Triclinius pro masculino habuit. Non meminerat huius loci Corsinus in dissertatione de Pythiis cap. XIII. ubi quaerit, utrum hi ludi uno an pluribus diebus sint acti.

V. 696. *Λεύκιππος* in codd. Lipss. lineola notatum ut nomen proprium. Recte monuit Eustathius p. 524, 31. (397, 14.) epitheton esse. Hic et h. l. et p. 83, 3. (62, 25.) et p. 336, 19. (253, 50.) *Αἰνιὰν* habet, postremoque in loco etiam *Αἰνιᾶνος* v. 714., alteramque scripturam *Αἰνειὰν* et *Αἰνειᾶνος*, quae in plerisque codd. est, pravam esse ait, Stephanum Byz. sequutus in nomine *Αἰνία*. Brunckii codex *Αἰνιὰν* et *Αἰνιᾶνος* habet.

V. 698. *Δέκατον ἐκπληρῶν ὄχον*, numerum de-

στάντες δ', ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
ἔσεισαν· ἐκ δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι

---

cem curruum suo curru implens, i. e. ordine decimus. Erfurdtius citavit Schowii Supplem. ad Hesych. p. 849. qui nonnullos codices Italos ὄχλον habere scribit. Notabilis hic locus est propter numerum curruum, qui una commissione decertarunt.

V. 699. Eustathius p. 449, 2. (847, 49.)

V. 703. Vulgo ἐν δέ, quod ut simul significare ostenderet, Monkius aliquot exempla attulit, citavitque Blomfieldium, qui tamen in glossario ad Aeschyli Sept. c. Theb. 965. pleraque aliena commemoravit. At hoc quidem satis notum: illud vero demonstrandum erat, aptum hic esse istud ἐν. Quod nego: nam Latinum simul ambiguum est, quod sic tantum hic aptum, si statim significat, non etiam, si id, quod ἐν, in his, quae sunt talia. Vide ad Aiac. 660. Codd. Aug. c. Harl. Mosc. uterque, ambo Lipsienses et Livineii v. habent ἐκ δὲ, adscripto in Lips. a. et Mosc. 1. περισσὴ ἡ ἐκ, in Lips. b. autem simpliciter, περισσή, in Mosc. 2. ἐκ τούτου ἐπληρώθη. Recepi hoc, quod tanto consensu firmant codices, licet non habeam in promptu exemplum verbi ἐκμεστοῦν. Qui vulgatum servari volent, ἐμμεστοῦν hic usurpatum putare debebunt, praepositione per tmesin avulsa. Ambiguum quidem est illud in Antigona v. 420. ἐν δ' ἐμεστώθη μέγας αἰθήρ, quum illic

7*

'φείδοιντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων

---

recte possit *ἐν* simul significare, ut scholiastes interpretatur: sed *ἔμμεστος* tamen ex Platonis epist. VII. p. 338. D. affert Stephanus in Indice Thesauri: *καὶ τούτων τινὲς ἄλλοι παρακουσμάτων τινῶν ἔμμεστοι τῶν κατὰ φιλοσοφίαν.*

V. 706. Coronidem craseos signum Brunckius in principio huius et praecedentis versus posuit.

V. 710. Suidas v. *στήλη.* Errant, qui de postremo circa metam flexu sermonem esse putant. *'Εσχάτη στήλη* de pluribus, quae in hippodromo sunt, columnis extrema est, eademque est etiam meta, circa quam flectunt equos. *'Υπ' αὐτὴν ἐσχάτην στήλην ἔχων* dicitur, qui pene pervenit illuc, et ibi equos agit. *Ἔχειν* enim satis usitatum de cursu, quem auriga tenet. Ad eam columnam *χρίμπτειν ἀεὶ σύριγγα* dicitur, qui quoties illuc venit, tam brevi gyro flectit, ut axis pene contingat columnam. Id enim praecipue curabant, ut iam Homerus, quem imitatus est Sophocles, docuit Iliad. *ψ.* 334. seqq. Nam quo brevior gyrus, eo certior et tutior aurigatio: quo autem sinuosior, eo vehementius in transversum avertitur currus. Quoniam autem sinistrorsum gyros illos equestres fieri mos erat, dextris equis remittenda erant frena, iidemque acrius instigabantur, quum sinistri interea cohiberentur. Itaque his versibus nihil aliud, nisi peritia describitur, qua equos rexerit Orestes. Vide dissertationem nostram de verbis, quibus Graeci incessum equorum indicant, in Beckii Commentar. Soc. philol. vol. I.

ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον, εἶργε τὸν προςκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·

---

part. I. p. 49. et Bulengerum de Circo Rom. c. 29. in Graevii Thes. ant. Rom. T. IX.

V. 711. Suidas v. σύριγξ. Idem verba ἔχριμπτ' ἀεὶ in lexicon suum retulit, quod fecit etiam Zonaras p. 942. Δεξιόν τ' a Turnebo e Triclinii recensione invectum servarunt recentiores. Δεξιὸν δ' Ald. Iunt. Codd. Harl. Ven. et ambo Lips. nec caussa erat mutandi.

V. 712. Suidas σειραῖος ἵππος, ὁ ἔξω τοῦ ζυγοῦ, ὁ δεξιός. δεξιὸν δ' ἀνεὶς ἀεὶ σειραῖον ἵππον, εἶργε τὸν προςκείμενον, τουτέστι, τῷ καμπτῆρι, τὸν ἀριστερόν. Sic etiam scholiastae. Σειραῖον ἵππον, equum funalem, ex h. l. memorat Eustathius p. 700, 47. 754, 26. (582, 25. 683, 40.) Quum nihil in tota hac narratione sit, quod non possit de bigis intelligi, hic autem etiam apertius duo tantum equi indicari videantur, σειραῖον ἵππον debebimus dextrum iugalem interpretari, qui a maiori robore, quod in dextris equis requirebatur, ita dictus sit: unde Ἄρης δεξιόσειρος in Antigona v. 140. Σειραφόρος enim, quia funali equo maiorērociendi copia est, de forti et robusto equo dicitur: quare ἡγεμονικὸν interpretatur Hesychius. Mirum est tamen equo iugali tributum epitheton, quod proprie non iugalem notat. Sed videtur Sophocles hac quoque in re Homeri descriptionem ludorum funebrium Patrocli sequutus esse. Itaque ut omnino temporum rationis parum curiosi sunt poetae, ita non est mirandum, si bigis certare Oresten fecit Sophocles, licet eo tempore, quo haec fabula scripta est, non nisi quadrigarum certamen aut in his ludis aut in Olympiis usitatum

ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς

---

fuerit. In Olympiis enim bigae demum Olympiade XCIII. sunt introductae, teste Pausania V. 8, 3. In Pythiis autem, ut idem refert X. 7, 3. Pythiade XLVIII. quae incidit in Olympiadem XCV.

V. 714. Eustath. p. 335, 20. (253, 50.)

V. 715. *Βίᾳ φέρειν*, vel uno verbo *ἐκφέρειν* dicitur equus, qui frenis non parens effuso cursu rectorem aufert, quod nos durchgehen vocamus. Apud Plutarchum *περὶ πολυπραγμοσύνης* p. 521. C. legitur *φοροῦσιν*, quod reponendum putabat Porsonus in Advers. p. 210. conferri iubens v. 752. Aristoph. Eq. 525. (528. Br.) Eurip. Suppl. 691. (690.) ex emend. Marklandi. Haec omnia aliena sunt. *Φορεῖν* verbum est continuativum, *φέρειν* inceptivum. Quare hic *φέρουσι* recte libri Sophoclis omnes et Suidas in v. *ἄστομοι*, ac Zonaras p. 318. Eadem verba *βίᾳ φέρουσιν* in eadem re posuit Euripides in Hippol. 1224. In sequentibus mire laborant interpretes. Plerique *τελοῦντες* de equis intellegerunt: unde in codd. Lipss. scholion: *καὶ ὁ πῶλος λέγεται ἀρσενικῶς, καὶ ἡ πῶλος θηλυκῶς.* Monkius, quia usus postulet *πώλους* feminino genere dici, cum Brunckio *τελοῦντες* nominativum putat absolutum esse, sed non indicat, quomodo intelligi locum velit. Brunckii quidem explicatio perinepta est. Is *τελοῦντες* non ad solum Aenianem, sed etiam ad Barcaeum referri vult: quum enim Aenian septimum cursum ageret, sexies iam circumacta meta, Barcaeum sextum cursum egisse, et ita eos adversis frontibus in se invicem impegisse. It quomodo sic dici ab Sophocle, quin omnino quomodo fieri

τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,

---

potuerit, ego me non assequi profiteor. Si τελοῦντες est nominativus absolutus, non de his duobus, sed de omnibus, qui certabant, intelligendum est hoc verbum. Mirum tamen videri debet, tam impedita constructione usum esse poetam, quum in promptu esset ita scribi, ἕκτον τελούντων ἕβδομόν τ' ἤδη δρόμον. Musgravius equos Aenianis introrsum per medium curriculum flexisse cursum, et ita obvios factos Barcaeo currui putat. At ut id fieri potuerit, quoniam non est credibile spinam fuisse in hippodromo Pythico, qualis in Circo esse solebat, nihil tamen dixit ea de re Sophocles. Scholiastes verba ἐξ ὑποστροφῆς interpretatur, ἐξ ὑπαντήσεως, ὡς ἐκείνων ὑποστρεφόντων, male, tum quia contra naturam est, equos aurigam auferentes retro cursum flectere, tum quia locutio illa nihil nisi aut post flexum, quod nos eodem modo aus der wendung dicimus, aut rursus, denuo, iterato significare potest. Nam flectendo novi cursus initium fit. Aptissime Statius huius formulae vim expressit Theb. VI. 454. rursus praecipites in recta ac devia campi obliquant tenduntque vias. Id ipsum est ἐξ ὑποστροφῆς τελεῖν δρόμον. Ex quo consequitur, si cum Brunckio ἐξ ὑποστροφῆς cum συμπαίουσι construatur, versum, qui in medio est, plane ineptum fore, quum neque alii sextum cursum agere, dum alii septimum agebant, potuerint, neque, quum Aenianis equi in Barcaeos irruerent, sextum simul et septimum, sed alterum utrum agi necesse fuerit. Hinc una tantum ratio superest, qua haec commode expediri possint, quae haec est, ut ἐξ ὑποστροφῆς cum verbo τελοῦντες construatur, sive hunc nominativum absolutum esse, sive

de equis hoc participium intelligi velis, non quidem ut *πῶλοι* dicantur *τελοῦντες*, sed ut referatur ad *ἵπποι*, quod in mente habuerit poeta: quod eo facilius fieri potuit, quia non soli Aenianis equi, sed omnes una currebant. Ita hic erit verborum sensus: deinde Aenianis effreni equi aurigam abripiunt, et dum ex iterato sextus ac septimus iam cursus peragitur, adversas frontes impingunt in currus Barcaeos. Dicit hoc: frenis non parentes ruunt equi Aenianis, et metas iterum atque iterum ambiendo sextum et iam septimum cursum agunt, quum proni feruntur in currus Barcaeos. Neque enim statim facta perturbatio, sed, quum ante sextum cursum fugere coepissent equi isti, sextum et pene iam septimum cursum sine clade peregerant, quum tandem in currum Barcaei irruerunt: quod non ita esse factum, ut amborum equi adversis frontibus concurrerent, sed ut Aenianis equi ex transverso in latus Barcaei currus ferrentur, quum is ad metam flecteret, nemo, qui certaminum istorum rationem cognitam habeat, dubitare poterit. Similem rei descriptionem dedit Sidonius Apollinaris in Narbone: v. Onuphr. Panvin. de ludis circensibus I. 27. in Graevii Thes. Ant. Rom. T. IX. p. 272. Non dissimulandum est tamen, valde ingeniosam esse coniecturam, quam, licet dubitanter, Passovius mecum communicavit, uno versu transposito hunc locum ita scribendum videri: *καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι, τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον· ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις.* Habet haec coniectura etiam ex eo aliquid commendationis, quod sic illa, *καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι*, non tam nude dicta sunt, ut in vulgata scriptura. Qui probabunt hoc, necessario *ἐξ*

μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις.

V. 992. MSS. Lips. *κτησώμεθα.* Codd. Aug. b. c. *κτησόμεθ'.* Adnotavi hoc propterea, quia non perinde est, coniunctivus, an futurum ponatur. Quod sensisse videntur librarii, qui a vulgata scriptura discesserunt. Coniunctivus hanc praebet sententiam: cave,

λύει γὰρ ἡμᾶς οὐδὲν, οὐδ' ἐπωφελεῖ,
βάξιν καλὴν λαβόντε, δυςκλεῶς θανεῖν.

---

ne, si res male cedat, maiora nobis mala contrahamus, si quis haec audiet. Futurum autem ita haec immutaret: vide, ne, si res male cedat, contracturae nobis simus maiora mala, si quis haec audiet. Demonstrabunt hanc differentiam duo exempla, quae in una sunt oratione apud Xenophontem Cyrop. IV. 1, 15. *εἰ δὲ ἀπλήστως χρώμενοι ταύτῃ* (*τῇ εὐτυχίᾳ*), *ἄλλην καὶ ἄλλην πειρασόμεθα διώκειν, ὁρᾶτε μὴ πάθωμεν ἅπερ πολλοὺς μὲν λέγουσιν ἐν θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυχεῖν οὐκ ἐθέλοντας παύσασθαι πλέοντας, ἀπολέσθαι, πολλοὺς δὲ νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν πρόσθεν ἀποβαλεῖν.* Et §. 18. *εἰ δὲ ἐν εὐρυχωρίᾳ πρόςιμεν αὐτοῖς, καὶ μαθήσονται, χωρὶς γενόμενοι, οἱ μὲν κατὰ πρόςωπον ἡμῖν, ὥςπερ καὶ νῦν, ἐναντιοῦσθαι, οἱ δ' ἐκ πλαγίου, οἱ δὲ καὶ ὄπισθεν, ὅρα μὴ πολλῶν ἑκάστῳ ἡμῶν χειρῶν δεήσει καὶ ὀφθαλμῶν.*

V. 994. Erfurdtius *λύσει* scripsit, ut sensus esset: nihil nos malis liberabit, nec prodest gloriosam adeptas famam indigne ac turpiter perire. Videtur ergo *οὐδὲν* pro nominativo habuisse: alioqui servari poterat *λύει*. At ista sententia aliena est. Brunckius plene dictum ait in Oed. R. 316. *ἔνθα μὴ τέλη λύει φρονοῦντι*; nude autem positum esse *λύειν* in Eurip. Med. 566. 1112. 1362. At in primo horum exemplorum, ut in Alcest. 631. additus est dativus, in reliquis intelligitur: quod Monkius quomodo hic quoque fieri dicat, non intelligo, nisi durissima constructione *ἡμᾶς* cum *θανεῖν* coniungi voluit. Elmsleius ad Med. 553. reponendum esse *ἡμῖν* suspicatur. Mihi videtur

οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ᾽ ὅταν θανεῖν
χρῄζων τις, εἶτα μηδὲ τοῦτ᾽ ἔχῃ λαβεῖν.
ἀλλ᾽ ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ᾽ ὀλέσθαι, κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ᾽ ἐγώ σοι κἀτελῆ φυλάξομαι·
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ,
σθένουσα μηδέν, τοῖς κρατοῦσιν εἰκάθειν.

ΧΟΡΟΣ.

πείθου. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ

Sophocles hoc verbum audacius cum accusativo construxisse sive per attractionem quamdam, quia quod sequitur verbum eum casum regit, sive sensum tantum respiciens, qui idem est ac si ὠφελεῖ vel aliud huiusmodi verbum posuisset. Λυσιτελεῖ explicat Suidas, hunc fortasse locum spectans.

V. 995. Vehementer erravit Brunckius, ad θανεῖν intelligendum putans εὐκλεῶς. Recte monuit Erfurdtius, iam Vitum Winshemium, qui sensus horum verborum esset, perspexisse: non mori tristissimum est, sed si quis cupiens mori, ne id ipsum quidem, ut moriatur, consequi potest. Carcerem enim et lentos cruciatus timet.

V. 997. 998. affert Suidas v. ἀντιάσας.

V. 999. Mosc. 1. ἐπίσχες.

V. 1001. Suidas v. εἰκάθειν omittit ποτέ. Postrema verba affert Zonaras p. 645.

V. 1002. Elmsleius ad Med. 882. εἰκαθεῖν. Quid mihi videatur dixi ad Antig. 1083. et ad Oed. Col. 1019.

V. 1003. Brunckii MS. C. πιθοῦ, quod ab illo

κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.

ΗΛΕΚΤΡΑ.

ἀπροςδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ᾔδη σ' ἀποῤῥίψουσαν ἀπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.

ΧΡΥΣΟΘΕΜΙΣ.

φεῦ·
εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς

---

magis Atticum iudicatum receperunt Erfurdtius et Schaeferus. Eamdem mutationem non semel in Aeschylo fecit Blomfieldius, quem vide ad Prom. 282. Est hic unus ex ridiculis illis Atticismis, quales plurimos haec aetas procudit. *Πιθοῦ* est obedi, quod est statim mutari sententiam et fieri, quod iubeat, volentis: *πείθου* autem, sine tibi persuaderi. Firmiter locum suum tuetur *πείθου* in Oed. Col. 520. Sequentia affert Stobaeus Serm. III. 2. consentiens cum Sophoclis librorum scriptura. Suidas vero in v. *προνοία* habet *προνοίας οὐδὲν ἔφυ βροτοῖς*, unde quis coniiciat *προνοίας οὐδὲν ἐξέφυ βροτοῖς*.

V. 1005. 1006. *Δ'* post *καλῶς* apud Thomam M. in v. *ἐπαγγέλλω* abest, nisi quod *σ'* pro eo codex unus habet. Alius ibi codex *ᾔδη*. Vulgo, ut in Sophoclis libris ante Brunckium, *ᾔδειν*. *Ἤιδη* a Sophocle usurpatum testatur Eustathius p. 50, 32. (38, 14.) Deinde *ἀπηγγειλάμην* apud Thomam.

V. 1007. *Αὐτόχειρι* pro *αὐτοχειρὶ* ex monitu Porsoni ad Orest. 1037. Erfurdtius et Schaeferus. Sic etiam cod. Monac.

θνήσκοντος, εἶναι· πάντα γὰρ κατειργάσω.

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.

ΗΛΕΚΤΡΑ.

ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε.

ΧΡΥΣΟΘΕΜΙΣ.

εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.

ΗΛΕΚΤΡΑ.

ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀνέξομαι κλύουσα, χὤταν εὖ λέγῃς,

V. 1011. Codd. plerique et edd. πάντα γὰρ κατειργάσω, in qua constructione nihil erat, quod reprehenderetur. Vide ad v. 902. Brunckii cod. C. Aug. c. Harl. Barocc. 2. Ien. πάντα γὰρ ἂν κατειργάσω, unde Brunckius, ἂν omitti non posse ratus, cum Dawesio Misc. cr. p. 260. (458. ed. Kidd.) πᾶν γὰρ ἂν κατειργάσω dedit, quem sequuti sunt Erfurdtius et Schaeferus.

V. 1012. Elmsleius in praefat. ad Oed. R. p. 10. legit ἦ, dicturus aliquando de hac forma ad eius fabulae v. 1123. Vide quae ego in praefatione ad illam traegoediam p. 21. dixi.

V. 1015. Suidas v. εἰκός.

V. 1017. Valde torsit hic versus interpretes. H. Stephanus Annot. in Soph. p. 25. ita interpretatur: u t p a t i e n t e r a u d i o, q u o d n u n c

ΗΛΕΚΤΡΑ.

ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.

ΧΡΥΣΟΘΕΜΙΣ.

μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.

ΗΛΕΚΤΡΑ.

ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.

---

mihi exprobras, ita audiam patienter te tum quoque, quum me laudabis. Hoc probavit Erfurdtius. At mirum, ne quid gravius dicam, laudari se aliquem patienter laturum dicere, quum ei potius, qui reprehenditur, aequo animo opus sit. Non magis satisfacit, quae eodem redit, Monkii explicatio, qui haec in hanc sententiam interpretatur: *sustinebo te audire, etiam si mutas orationem, et probas mores meos.* Eadem enim, quae in Stephani interpretatione, manet dubitatio. Scholiastes ad sensum bene: *οἷον, ἔσται καιρός, ὅτε με εὐφημήσεις. ἤτοι πεισθήσομαι καὶ ἐπαινέσω σε, ὅταν εὖ λέγῃς.* Nihil aliud illud *ἀνέξομαι κλύουσα* significare videtur, quam, *oportebit me audire te etiam laudantem mores meos*: i. e. accidet mihi, ut te audiam etiam quum me laudabis. Et haec quidem sententia ut cum scholiastae interpretatione convenit, ita etiam omnino huic loco aptissima est. Similiter nos in tali caussa loquimur: *ich werde noch hören müssen, dass du mich lobst.*

V. 1018. Cod. Ven. Ald. et vulgatae *μάθῃς*.

ΗΛΕΚΤΡΑ.

ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.

ΧΡΥΣΟΘΕΜΙΣ.

οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.

ΗΛΕΚΤΡΑ.

ἀλλ' οὖν ἐπίστω γ', οἷ μ' ἀτιμίας ἄγεις.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀτιμίας μὲν οὔ, προμηθείας δέ σου.

Brunckii membranae, MS. E. codd. Ien. uterque Lips. Harl. edd. Iuntt. πάθῃς, quod etiam in D. superscriptum vulgatae. Hoc praetuli, licet etiam μάθῃς defendi possit.

V. 1024. Brunckii interpretationem, scias tu tamen, quo me infamiae adducis, vix quisquam intelligat. Referuntur haec ad praecedentia, ut plena oratio sit, ἀλλ' οὖν ἐπίστω γ' ἐχθαίρουσα, οἷ μ' ἀτιμίας ἄγεις: at sane te scias me odisse, pro eo gradu contemptus, ad quem usque me despicis. Cod. Monac. ποῦ pro γ' οἷ.

V. 1025. Ven. uterque Lips. et Aug. c. MS. v. Livineii προμηθίας, sed in Aug. c. ι minio mutatum in ει. Praeferendum putat Monkius προμηθίας, quod mihi secus videtur. Propria enim diphthongus est in his, quorum adiectiva in ης exeunt et in ειος: ut, ubi haec nomina in ια terminantur, id metri caussa et per licentiam, non ex regula fieri videatur. Quin etiam propter numerorum elegantiam crediderim, ubi utraque nominis forma in usu esset, praelatam esse eam, quae in quintum pedem inferret spondeum, si quidem minus venusta est vocabuli longioris, cuius penultima brevis est, in quinto

ΗΛΕΚΤΡΑ.

τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;

ΧΡΥΣΟΘΕΜΙΣ.

ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.

ΗΛΕΚΤΡΑ.

ἦ δεινόν, εὖ λέγουσαν ἐξαμαρτάνειν.

ΧΡΥΣΟΘΕΜΙΣ.

εἴρηκας ὀρθῶς, ᾧ σὺ πρόςκεισαι κακῷ.

ΗΛΕΚΤΡΑ.

τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' ἔστιν ἔνθα χἠ δίκη βλάβην φέρει.

ΗΛΕΚΤΡΑ.

τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.

ΧΡΥΣΟΘΕΜΙΣ.

καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσει πάλιν;

---

ictu terminatio. Vide quae de formis *Λαέρτης* et *Λαέρτιος* observavi ad Ai. 1372.

V. 1026. Monkius haec sine interrogatione ironice dici vult. Sensus eodem redit.

V. 1030. Nulla est interpunctio post *τί δ'* in codd. Lipss.

V. 1034. Lips. b. *ποήσω*, omittens in fine *σε*

ΗΛΕΚΤΡΑ.

βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.

ΧΡΥΣΟΘΕΜΙΣ.

φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.

ΗΛΕΚΤΡΑ.

πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἄπειμι τοίνυν. οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.

ΗΛΕΚΤΡΑ.

ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,

V. 1036. *Ἔστιν οὐδέν.* Hoc ordine collocatae voces in D. concinnius, quam in aliis *οὐδέν ἐστιν.* BRVNCK. Etiam cod. Ien. *ἐστιν οὐδέν.* Codd. Aug. b. c. uterque Lips. Ald. ac reliquae edd. cum Suida in v. *ἔχθιον*, qui huic versui statim subiicit versum 1032. et Zonara p. 940. *οὐδέν ἐστιν*, quod reponi iubet Monkius. Quod Brunckius dedit, facit, ut ad recitationem nomen *οὐδὲν* fortius sit, quam debet esse. Attigit hunc versum Reisigius Comm. cr. ad Oed. Col. p. 321.

V. 1039. 1040. Stob. p. 31, 24. ut e Soph. Phaedra. Grot. p. 13. male Barnes. retulit ad Eur. Phaedram, et in nota monet, hinc ista esse petita. VALCKEN.

V. 1041. Monkius scribendum coniicit, *οὐ γάρ σοι μεθέψομαί ποτε.* Elmsleium enim dicit (Quart. Review vol. VIII. p. 454.) ostendisse, ubi *οὐ μὴ* prohibitivum futuro iungatur, fieri id cum interrogatione, ita ut exempli caussa *οὐ μὴ*

οὐδ' ἣν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.

ἐρεῖς proprie sit, non tu non dices? Contra cum coniunctivo coniunctas has particulas, idem valere, atque futurum cum negatione, ut in Euripidis Iph. A. 1465. *ΚΛ. ὦ τέκνον, οἴχει; ΙΦ. καὶ πάλιν γ' οὐ μὴ μόλω.* Addere tamen Elmsleium, tria in superstitibus scenicorum poetarum fabulis exempla esse, quae neque quomodo corrigat, neque quomodo cum explicatione illa conciliet, habere se fatetur, in iisque hunc esse Electrae locum. Quae in illa Marklandi Euripidis Supplicum censura (p. 222. ed. Lips.) dixit Elmsleius, iterum iterumque uberius exposuit ad Med. 1120. et ad Oed. Col. 177. Atque ex illis tribus locis facile concedimus bene summotum esse Aristoph. Ran. 508. Electrae autem versum, in quo Elmsleius *οὔτοι σοι μεθέψομαι* coniecerat, liberari illa constructione scriptura cod. Laur. A. *οὐ*, ut tertius tantum, qui prorsus reluctetur, reliquus sit, Oed. Col. 176. Sed tamen neque errasse mihi videor, quum defendi illam rationem construendi in censura Medeae Elmsleianae ad v. 1120. p. 390. et ad Oed. Col. 853. neque video, si sic est explicanda, ut sit *οὐ δεινὸν μή*, de qua re dixit Elmsleius ad Oed. Col. 177. cur nequeat futurum cum particula *μὴ* construi ea conditione, qua alias futurum regit: de qua structura exposui in illa quam dixi censura ad v. 310. p. 357. Codicis Laur. A. scripturam reponere eo magis sum veritus, quod ea et mirum in modum debilitat orationem, nec veri simile est *οὐ* Sophoclem quam *οἱ* scribere maluisse.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

ΧΟΡΟΣ.

Τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς στρ. α'.
ἐσορώμενοι τροφᾶς κη-
δομένους, ἀφ' ὧν τε βλάστω-

V. 1042. Triclinii recensio male εἰ et τυγχάνεις.

V. 1047. Quomodo distinguendi essent hi versus, docui in Elem. d. metr. p. 493. coll. p. 477. De avium, et inprimis ciconiarum in alendis parentibus cura, apte Musgravius Aristoph. Av. 1353. Eurip. Electr. 151. affert. Caeterum male scholiastes Clytaemnestrae animum amoris expertem hic tangi putat. Omnia de Agamemnone et eius liberis intelligenda. Cur, inquit, ut alites victui parentum prospiciunt, non nos quoque idem facimus? At non diu malo carebunt. Recte enim scholiastae ἀπόνητοι de Aegistho et Clytaemnestra intelligunt. Ἀλλὰ sic refertur ad praecedentia, ut simul affirmet: at fiet hoc, ut imitemur alites. Nam quod Monkio placet, hoc dici, at punientur liberi, qui hoc officium negligunt, id quum propter gravem illam Iovis ac Themidis obtestationem, quae frigida foret in tali sententia, non est verisimile, tum etiam propter δαρόν, quod nisi ad Aegisthum et Clytaemnestram spectaret, plane esset supervacaneum.

V. 1048. Eustathius p. 694, 27. (573, 47.) habet δρώμενοι. Cum Sophoclis libris consentit Suidas in v. ἄνωθεν.

V. 1049. Βλάστωσιν pro βλαστῶσιν a Schaefero repositum.

σιν, ἀφ' ὧν τ' ὄνησιν εὕρω-
σι, τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν;
ἀλλ', οὐ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα,
κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφὶν ἤδη τὰ μὲν ἐκ δόμων νοσεῖ
δή, ἀντ. ά.

V. 1050. Edd. et plerique codd. ac Suidas in v. *ἄνωθεν* habent *ὄνησιν*, Brunckius usitatum in hac voce, ut ait, Dorismum restituit, quod nescio an sine libris fecerit etiam in Aiace v. 400. Vsus ille Dorismi in hac voce apud tragicos unico, nisi fallor, exemplo nititur Euripidis in Hippol. 757. Hic quidem Dorismum non spreverim, neque ex codd. Augustanis et Veneto, qui ad Brunckii editionem collati sunt, quidquam diversitatis adnotatum.

V. 1052. Ald et codd. vett. *ἀλλ' οὐ μὰ τὰν.* Recte omiserunt *μὰ* Livineii MS. p. Turn. Steph. Cant. Brunck. et recentiores.

V. 1054. Ald. et codd. vett. recte *δαρὸν οὐκ ἀπόνητοι.* Turn. *δαρὸν γὰρ οὐκ ἀπόνητοι.* Iuntt *δαρὸν οὐκ ἀποίνητοι.* Deinde vulgo *δαρὸν γὰρ οὐκ ἀποίνητοι.*

V. 1055. Scholiastae *χθονία καταβόησον* iungi volunt, ad inferos perfer. Quod contortum. Hoc dicit poeta: o quae ad inferos penetras mortalium fama, nuncia hoc Atridis: i. e. Agamemnoni et Orestae.

V. 1059. Ald. Iuntt. et codd. *σφίσιν ἤδη*, nisi quod Brunckii D. et Venetus *σφίσι γ' ἤδη.* Brunckius male cum vulgatis *σφίσ' ἤδη.* Erfurd-

tius *σφίσιν δή*. Schaeferus coniecit *σφὶν ἤδη*, probante Elmsleio ad Med. 1345. In fine versus Triclinii recensio *νοσεῖ δή*. Hoc *δή* veteres scripti et editi omittunt omnes. Faehsius in Sylloge lectt. Graec. p. 251. ex cod. Paris. 2794. has glossas, quibus quid faciam nescio, enotavit: *νοσεῖ· τὰ δέ. νοσεῖται· τὰ δέ.* Erfurdtius *νοσοῦσιν* posuit, sed cognita observatione Porsoni in addendis ad Hec. 1149. retractavit hanc coniecturam, et *νοσώδη* scribendum censuit. Quidquid reponatur, in sententia verborum aliquid difficultatis facit *ἤδη*. Cur enim iam de eo, quod pridem ita erat? Scilicet, ut saepe fit, prior pars enunciationis propter posteriorem addita est, hoc sensu, quum iam laborent ex odio domestico (i. e. Clytaemnestrae et Aegisthi), accedere etiam rixas sororum. Haec sententia apertius exprimeretur per participium, *ὅτι σφιν ἤδη ἐκ δόμων νοσοῦσιν, τὰ πρὸς τέκνων οὐχ ὁμοφρονεῖ*. Itaque non male scripseris *νοσοῦσιν*, modo id non tertiam personam verbi, sed dativum participii esse velis, qui quum interpretes propter particulas *μὲν* et *δὲ* falleret, fieri potuit, ut *νοσεῖ* scriberent. Atque in cod. Aug. c. *νοσοῦσι* supra scriptum, quae tamen nihil nisi explicatio esse videtur, quum etiam scholiastes Baroccianus *νοσοῦσι* in explicatione huius loci posuerit. At particulae istae interdum ad ea tantum ipsa, quae opposita inter se sunt, referuntur, manente constructione participii. Thucydides I, 67. *Αἰγινῆται δὲ φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον.* Veri tamen similius iudicavi, scriptum fuisse *νοσεῖ δή*, quod Triclinii recensio habet. Sicuti *ἤδη* post *δή* infertur, v. Eurip. Med. 1292. ed. Pors. Suppl. 984. Troad. 235. ita nihil impedit quin etiam *δὴ* ex *ἤδη* iteretur, quod posui etiam in Eurip. Alcest. 133. Sic

τὰ δὲ πρὸς τέκνων διπλῆ φύ-
λοπις οὐκ ἔτ' ἐξισοῦται
φιλοτασίῳ διαίτᾳ.
πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς
δειλαία στενάχουσ', ὅπως
ἁ πάνδυρτος ἀηδών,
οὔτε τι τοῦ θανεῖν προμηθής,

---

etiam *τὶς* geminatur, de quo vide ad eiusdem fabulae v. 79.

V. 1064. *Τὸν ἀεὶ* dictum esse intellecto *χρόνον* monui ad Orph. p. 331. eodemque modo explicanda esse haec in Oed. Col. 1583. *ὡς λελοιπότα κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίστασο*, assentiente Reisigio in comm. cr. ad Oed. Col. p. 391. De hoc quidem loco aliter visum Schaefero ad Lamb. Bos. p. 552. qui *τὸν ἀεὶ βίοτον* pro *τὸν βίον εἰςαεὶ* dictum putat, quod ego quidem non magis probem, quam quod Eustathius p. 501, 24. ait, *ζωὴν ἀνθρώπου* his verbis designari. Aliam nunc probabiliorem rationem ad istum locum, qui meae editionis est v. 1580. attulisse mihi videor. Musgravius ex Sophocle comparat Trach. 80. *εἰς τὸν ὕστερον*. *Πατρὸς* cum *στενάχουσα* coniungendum esse, non cum *δειλαία*, ut Brunckio videtur, vix opus est moneri. Vide quae de usu genitivi disputavi in diss. de ellipsi et pleonasmo, in Museo stud. antiq.

V. 1066. Libri *πανόδυρτος*. Erfurdtius dedit *πάνδυρτος*, quod et ego conieceram, et a Porsono in Adversariis propositum probavit Monkius.

V. 1067. Apud Eustathium p. 645, 16. (596, 16.) et in cod. Paris. 2794. legitur *οὔτε τι τοῦ μὴ θανεῖν προμηθής*. Sensus est: neque mor-

τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ' ἐρινννύν.
τίς ἂν εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν γάρ, *στροφὴ β'.*
ζῶν κακῶς, εὔκλειαν αἰσχῦναι θέλει
νώνυμος, ὦ παῖ, παῖ,
ὡς καὶ σὺ πάγκλαυτον αἰ-

---

tem curans, et parata vitam relinquere, si duplicem furiam (Aegisthum et Clytaemnestram) tollere possit.

V. 1070. Libri *τὶς ἂν οὖν*. Recte delevit *οὖν* Triclinius, quae interpretatio videtur, adscripta ad *ἄρ'*. Certe in Aug. c. *ἂν* a correctore in *ἄρ'* mutatum, et in cod. Par. 2794. scriptum *τίς οὖν ἄρ'*. Omittunt *οὖν* scripti ad Triclinii recensionem codices Livineii.

V. 1071. Eustath. p. 581, 18. (441, 51.)

V. 1071. 1072. Citat haec Stobaeus Serm. XXXVII. 4. sic scripta, ut apud Sophoclem, i. e. omissa particula *γάρ*. Nec quidquam discrepantiae adnotavit Gaisfordius. Sed Grotii editio p. 145. *γὰρ* inserit post *τῶν*, male illud quidem collocatum, sed, ut ex antistrophicis colligere mihi videor, tamen genuinum. Quare receptum eo quo oportebat loco posui.

V. 1074. Triclinius contra libros veteres *ὥςτε καί*. Tum edd. Triclinianae *πάγκλαυτον*, quod in cod. Laur. A. esse, ex Elmsleii adnotatione ad Oed. Col. 1360. cognoscimus. Vulgo *πάγκλαυστον*. Vide quae dixi ad Oed. Col. 1362. Atticam esse vult omissionem litterae *σ* ad h. l. Triclinius. *Πάγκλαυτον αἰῶνα κοινὸν* mortem dici, recte vidit Erfurdtius, nec fieri potest, ut haec alium sensum habeant. *Τὸ μὴ καλὸν* non potest non ad Clytaemnestram et Aegisthum re-

ὦνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα
δύο φέρειν ἐν ἑνὶ λόγῳ,

---

ferri. Sed καθοπλίσασα nullo modo significat, quod scholiastae minori placet, ἀσφαλίσασα σεαυτὴν πρὸς τὸ μὴ καλόν, ἤτοι ἀποστέρξαι τὰ τοῦ πατρός, δηλονότι τὴν πρὸς αὐτὸν αἰδῶ. Veteris scholiastae explicatio, καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα· οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη, ad sensum bona est, sed non convenit cum verbi significatu, qui est armare. Vnde fortassis eorum aliquis, quibus verbum activum καθιππάσαι non fuit offensioni, καθιππάσασα coniiciat. Nam καθιππάσω in Aeschyli Eum. 150. a scholiasta itidem per κατεπολέμησας explicatur. At illi mirum in modum falluntur vel in corrigendo Diphili loco apud Aethenaeum XIII. p. 581. D. vel in interpretando, quod etiam Schneidero in Lexico accidit. Plane ibi dubitari nequit, quin passiva significatione dictum sit καθιππάσθαι δ' ὑπ' αὐτῆς. Apud Sophoclem si illa veteris scholiastae interpretatio vera est, facilius suspicere καθυπνίσασα scriptum fuisse. Sed non opus videtur mutatione, modo haec verba ad praecedentia referas, ut sensus sit: ita tu quoque illaetabile commune fatum praetulisti, scelus armans, ut duplicem ferres laudem, simulque et sapiens et optima filia dicerere. Armare enim quum dicitur Electra scelus, id patet idem esse ac provocare ad dimicationem, cuius incertus est eventus: unde mortem illa praeoptasse dicitur.

V. 1077. Librorum scripturam, δύο φέρειν ἐνὶ λόγῳ, revocavit Erfurdtius, et in antistropha scripsit τῶν pro τῶνδε. Triclinius ἑνί γε λόγῳ. Brunckius ἐν ἑνὶ λόγῳ, quod sumptum videtur

σοφὰ τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζώης μοι καθύπερθεν ἀντιστρ. β'.
χειρὶ καὶ πλούτῳ τεῶν ἐχθρῶν, ὅσον
νῦν ὑπὸ χέρα ναίεις·
ἐπεί σ' ἐφεύρηκα μοί-
ρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ

---

ex adnotationibus scholiastarum. Sic in MSS. Lipss. explicatio addita ἀποφέρεσθαι ἐν ἑνὶ λόγῳ. Correctio facilis: quare recepi. De verbo activo φέρειν, quod est consequi, dixit Reisigius in Enarr. Oed. Col. p. 27.

V. 1079. Ald. et vett. codd. ζώης μοι καθύπερθεν χερὶ καὶ πλουτῳ τῶν ἐχθρῶν, ὅσον νῦν ὑπὸ χεῖρα ναίεις, nisi quod Ald. Iuntt. καθύπερθε. Triclinius dedit χερὶ πλούτῳ τε, quem sequitur Brunckius, ut solet, ubi non habet, quo se vertat. Articulus ante ἐχθρῶν tam est hoc loco a poetica dictione alienus, ut eum nullo modo ab Sophocle scribi potuisse appareat. Apud Eustathium p. 1083, 17. (1109, 48.) legitur, ζώης μοι καθύπερθεν ἐχθρῶν χειρὶ καὶ πλούτῳ, ὅσον νῦν ὑπὸ χεῖρα ναίεις. Facillima mihi visa est, quum in strophicis Stobaeus Grotii γὰρ praebeat, haec emendandi via, ut χειρὶ ex Eustathio reciperetur, pro τῶν autem scriberetur τεῶν.

V. 1081. Libri et Eustathius l. c. ὑπὸ χεῖρα. Cum Erfurdtio ὑπὸ χέρα scripsi, quod probat Seidlerus de verss. dochm. p. 46. Versus est dochmiacus. Videndum tamen, an ὑπόχειρ dederit Sophocles, cuiusmodi nomen est ἐπίχειρ apud Pollucem II. 148. de quo H. Steph. in Thes. T. IV. p. 441. In eamdem suspicionem incidit Musgravius.

V. 1083. Ald. Iuntt. et plerique codd. ἐν ἐσθλᾷ. Aliqui ἐπ' ἐσθλᾷ; sunt etiam, qui plane omittunt praepositionem.

βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε
νόμιμα, τῶν δὲ φερομέναν
ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ.

ΟΡΕΣΤΗΣ.

Ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰςηκούσαμεν,
ὀρθῶς δ' ὁδοιποροῦμεν ἔνθα χρήζομεν;

V. 1085. Libri τῶνδε. Vide ad Philoct. 86.

V. 1086. Scholiastes: ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένην τὰ ἄριστα. ἢ ἐ ρ ι σ τ ά, (Brunckius hic et mox ἐριστᾷ) ἀμφηρίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ Διός· ἢ ἐριστὰ τῇ εὐσεβείᾳ, ᾗ ἄν τις ἐρίσειεν, ἀντὶ τοῦ περισπουδάστῳ προςφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα, ἀντὶ τοῦ μετὰ εὐσεβείας πράττουσαν. Si ἐριστὰ legeretur, sensus esset, quae summae sunt leges, earum nacta es, quod cum reverentia Iovis contendat, i. e. eas aeque ut ipsum Iovem colis. Id vero valde quaesitum, et ne aptum quidem est, quia illae ipsae sunt Iovis leges. Vera est vulgata: quae summae sunt leges, earum te quod optimum est consequutam video reverentia Iovis: i. e. sanctissimam illarum legum, pietatem erga parentem, te observare video. Deinde libri veteres Διός. Triclinius Ζηνὸς, quam scripturam quum iam scholiastes Romanus commemoraverit, praeferendam duxi, quia longam syllabam hoc metrum in fine prioris partis habere solet. Exempla vide apud Reisigium Comm. cr. ad Oed. Col. p. 291. et apud Elmsleium ad eiusdem fabulae v. 700. qui tamen non recte hoc genus metri metitur. Neque enim ausim contendere, quod Porsonus fecit ad Orest. 1700. pessumdari metrum vulgata scriptura. Vide ad Philoct. 1201.

V. 1088. Brunckius, Erfurdtius, Schaeferus non

ΧΟΡΟΣ.

τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;

ΟΡΕΣΤΗΣ.

Αἴγισθον, ἔνθ' ᾤκηκεν, ἱστορῶ πάλαι.

ΧΟΡΟΣ.

ἀλλ' εὖ θ' ἱκάνεις, χὠ φράσας ἀζήμιος.

ΟΡΕΣΤΗΣ.

τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;

ΧΟΡΟΣ.

ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.

ΟΡΕΣΤΗΣ.

ἴθ', ὦ γύναι, δήλωσον εἰςελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.

---

monito lectore dederunt *ὀρθῶς θ'*, quod habet Livineii MS. v. Ceteri, quos equidem norim, et scripti et editi libri *ὀρθῶς δ'*. Recte, ut ego quidem puto, mutata constructione. Debebat enim de more dicere, *ἆρα ὀρθὰ μὲν εἰςηκούσαμεν, ὀρθῶς δὲ ὁδοιποροῦμεν*; Nunc, quum *τε* posuisset in priore membro, in altero redit in usitatam constructionem. Vide ad Ai. 823.

V. 1090. De finito adverbio *ἔνθα* pro infinito *ὅπου* posito vide Elmsleium ad Med. 1086.

V. 1091. Turn. *εὖ γ'*. Sensus est: recte huc venis, et nullam habet culpam, qui tibi has aedes indicavit. Respexit hunc versum Suidas v. *ἀζήμιος*.

V. 1096. *Φωκῆς* reposuit Brunckius pro *Φωκεῖς*.

ΗΛΕΚΤΡΑ.

οἴ μοι τάλαιν᾽, οὐ δή ποθ᾽ ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;

ΟΡΕΣΤΗΣ.

οὐκ οἶδα τὴν σὴν κληδόν᾽· ἀλλά μοι γέρων
ἐφεῖτ᾽ Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.

ΗΛΕΚΤΡΑ.

τί δ᾽ ἔστιν, ὦ ξέν᾽; ὥς μ᾽ ὑπέρχεται φόβος.

ΟΡΕΣΤΗΣ.

φέροντες αὐτοῦ σμικρὰ λείψαν᾽ ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.

ΗΛΕΚΤΡΑ.

οἲ ᾽γὼ τάλαινα, τοῦτ᾽ ἐκεῖν᾽ ἤδη σαφὲς
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.

ΟΡΕΣΤΗΣ.

εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ᾽ ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.

ΗΛΕΚΤΡΑ.

ὦ ξεῖνε, δός νυν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν,

V. 1102. Dedi σμικρὰ cum MS. Harl. Turn. et qui hunc sequuti. Ald. et caeteri μικρά.

V. 1104. Delevi cum Ald. Iuntt. Lips. b. interpunctionem, quam alii habent in fine huius versus. Particulam aliquam posuisset in sequenti versu Sophocles, nisi haec coniungi voluisset.

V. 1109. Etiam MSS. Lipss. εἰς.

ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

ΟΡΕΣΤΗΣ.

δόθ᾽, ἥτις ἐστί, προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυςμενείᾳ γ᾽ οὖσ᾽ ἐπαιτεῖται τάδε,
ἀλλ᾽ ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.

ΗΛΕΚΤΡΑ.

ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν, ὥς σ᾽ ἀπ᾽ ἐλπίδων,

V. 1113. Aug. b. ἀπαιτεῖται. Lips. b. ἐπαινεῖται, sed glossa adscripta, ἀντὶ τοῦ αἰτεῖ. Triclinii recensio τόδε. Cod. Monac. ἀπαιτεῖ τόδε. Ac τόδε recipi vult Reisigius Comm. cr. ad Oed. Col. p. 326. quia in unam rem cadat, τόδε τεῦχος ἐς χέρας λαβεῖν. Recte, si ad λαβεῖν refertur: sed quidni referatur ad urnam, quique in ea cineres esse perhibentur?

V. 1115. Eustath. p. 666, 63. (535, 31.) Apsines in Aldi Rhetor. p. 724. extr. κατὰ τοῦτον τὸν τρόπον καὶ ὁ Σοφοκλῆς τοιούτους τινὰς λόγους τῇ Ἠλέκτρᾳ περιτέθεικε. θρηνοῦσα γὰρ τὸν ἀδελφὸν τεθνεῶτα, ὡς ᾤετο, διέξεισι τὰς ἀγγελίας, ἃς ἀπέπεμπε πρὸς αὐτὴν ὡς ἥξων αὐτὸς καὶ οὐκ εἰς μακρὰν τιμωρησόμενος τὸν Αἴγισθον. κινεῖ δὲ ἔλεον ἡ τῶν ἐχθρῶν ἐπ᾽ αὐτοῖς ἐσομένη χαρὰ δηλουμένη, καὶ νὴ Δία τις ἡδονή. ἡ γοῦν Ἠλέκτρα καὶ ἀπὸ τῆς περὶ τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν χαρᾶς οὔσης κινεῖ τὸν ἔλεον· γελῶσι δέ φησιν οἱ ἐχθροί, καὶ μαίνεται ἡ μήτηρ ὑπὸ τῆς ἡδονῆς.

V. 1116. Pronomen post ὡς omissum in libris restituit Brunckius. Sed hic et Erfurdtius ac Schaeferus cum MSS. Lipss. Turn. Steph. et aliis

οὐχ ὥνπερ ἐξέπεμπον, εἰςεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν·
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι, χεροῖν
κλέψασα ταῖνδε, κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγάς,
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·

ἀπ' ἐλπίδων: Schaeferus tamen in Melet. crit. p. 124. ὑπ' ἐλπίδων scribendum censebat. Recte vero Ald. Iuntt. aliaeque veteres edd. ἄπ' ἐλπίδων, i. e. secus quam speraveram. Quae sequitur particula οὐκ, abundanter posita cum attractione. Debebat enim dici, καὶ οὐχ αἵςπερ ἐξέπεμπον Defendi potest, sed non praeferam, quod scriptum est in cod. Harl. et scholiis Romanis: οὐχ ὅνπερ ἐξέπεμπον: legisse autem ita scholiasten, arguit, quod explicationis caussa addit: Ὅμηρος· ζῶον μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα.

V. 1120. Cod. Harl. Ien. Barocc. 2. Mosc. 2. ὤφελες, memoratum etiam Triclinio, qui hos, quibus id placebat, etiam κλέψασαν, ut sane debebant, scripsisse ait: idque est in Mosc. 2. At hoc metro repugnat. Ad eamdem scripturam referendum, quod in cod. Ien. et Bar. 2. est, κἀνασώσασα, qui accusativus esse debebat.

V. 1123. Ὅπως ἔκεισο non esse ut iaceres, sed ut iacuisses, vix opus est hodie moneri. Vide ad Viger. p. 850. seq. et Monk. ad Hippol. 643. qui ad hunc quoque locum de hac constructione dixit.

κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκός, ἄθλιον βάρος.
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς προςήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴ μοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
ἐγὼ δ' ἀδελφὴ σοὶ προςηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντα σὺν σοί. πάντα γὰρ συναρπάσας,

V. 1127. Brunckio *φίλῃσι* scribere placuit, ut mox edd. v. 1130. *ξένῃσι.* At ibi codd. Aug. b. c. et ambo Lipss. et Mosc. 1. *ξέναισι,* quod praetuli, quum verear, ne Ionicae istae formae saepe librariis ex Homeri lectione debeantur. Cod. Mosc. 2. *ξέναισιν.* Venet. *ξένοισι.* Pluribus de hac commutatione disputavit Elmsleius ad Med. 466.

V. 1128. Schaeferus in Melet. crit. p. 132. scribi iubebat *λουτροῖς σ' ἐκόσμησ'.* At non opus videtur pronomine, quum statim eius loco *ἄθλιον βάρος* sequatur.

V. 1131. Suidas v. *ὄγκος,* ubi *μικρὸς* legitur.

V. 1132. Imitatus videtur Aeschylum Choeph. 747—761. Affert v. 1132—1135. Suidas v. *φίλος.*

V. 1137. Ald. Iuntt. et reliquae ante Brunckium *ἀδελφὴ σή.* Restituit hic, quod codd. praebent, *ἀδελφὴ σοί.* Idque habuit scholiastes.

V. 1139. Brunckii codex et a prima manu D. ac Triclinii recensio *θανόντα,* quod recepit Brunckius, afferens Eurip. Herc. f. 69. *καὶ νῦν ἐκεῖνα*

θύελλ᾽ ὅπως, βέβηκας. οἴχεται πατήρ·
τέθνηκ᾽ ἐγώ· σὺ φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ᾽ ἐχθροί· μαίνεται δ᾽ ὑφ᾽ ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες, ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ᾽ ὁ δυςτυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ᾽ ὧδ᾽ ἐμοὶ προὔπεμψεν ἀντὶ φιλτάτης

μὲν θανόντ᾽ ἀπέπτατο, et fragm. Temen. κακοῖσι δὲ ἅπαντα φροῦδα συνθανόνθ᾽ ὑπὸ χθονός. Sequuti sunt Erfurdtius et Schaeferus. Ald. et Iuntt. omninoque libri a Triclinii recensione immunes θανόντι. Hoc si voluisset Sophocles, scripsisset, opinor, σὺν σοὶ θανόντι.

V. 1141. Erfurdtius, offensus pronomine σοί, quod interpretes vel abundare putaverint, vel morte tua significare voluerint, quorum utrumque languidum esse recte iudicat, edidit, σὺ φροῦδος αὐτὸς εἶ θανών. Omninoque illud σοί, quocumque modo explicare tentes, intolerabili languore foedat hunc locum. Sed eum ne quis non recte intelligat, tenendum est, non sibi Electram cuncta erepta dicere; sic enim non apte inseruisset τέθνηκ᾽ ἐγώ· sed habet illa in mente domus Agamemnoniae funestam sortem, nihil, quod pristinam gloriam tueatur aut vindicet, relictum videns. Hinc recte dicit: periit pater: mortua sum ego: tu denique ipse abreptus es leto. Atque id eam cogitare, ea quae his opponit ostendunt, videre inimicos, et furere prae gaudio matrem, quod sceleri victoria contigerit. Quin apertius etiam declarat versu 1145. et sequentibus.

V. 1142. Eustath p. 649, 23. 702, 37. (511, 50. 584, 50.) Vide ad v. 1145.

μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴ μοι.
ὦ δέμας οἰκτρόν.
φεῦ, φεῦ.
ὦ δεινοτάτας,
οἴ μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν εἰς τὰ μηδέν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

ΧΟΡΟΣ.

θνητοῦ πέφυκας πατρός, Ἠλέκτρα, φρόνει·

V. 1149. Versus ita distinguebantur:
— οἴ μοί μοι.
ὦ δέμας οἰκτρόν· φεῦ φεῦ.
ὦ δεινοτάτας, οἴ μοί μοι.
Ego aliter describendos putavi. Nam verba, ὦ δέμας οἰκτρόν, ὦ δεινοτάτας, videntur anapaesticus dimeter esse, quem interpellant interiectiones istae. Triclinius v. 1149. et 1153. dedit οἴμοι οἴμοι. Non dubitandum puto, quin semel scribendum sit οἴμοι, quia neque in initio horum versuum apta est catalexis, et in fine impedit continuationem numerorum cum trimetris.

V. 1159. Elmsleius in Addendis ad Med. 35. haec verba afferens habet μετέσχον, nescio utrum ex libris an ex coniectura. Certe vulgata non indiget mutatione.

V. 1162. Cod. Monac. ἀνδρὸς pro πατρός. Mosc. 2. Ἠλέκτρα πατρός.

θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

ΟΡΕΣΤΗΣ.

φεῦ, φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω.

ΗΛΕΚΤΡΑ.

τί δ' ἔσχες ἄλγος, πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;

ΟΡΕΣΤΗΣ.

ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;

V. 1163. Elmsleius ad Med. 156. affert, *θνητοῦ δ' Ὀρέστης*, errore scribendi, ut videtur. Nam ita Sophoclem scribere non potuisse apertum est. Consolantis enim Electram chori hanc mentem esse patet: *θνητὸς μὲν ὁ πατήρ, θνητὸς δ' Ὀρέστης ἐστίν.*

V. 1164. Legitur ut Aristoph. Polyid. ap. Stob. p. 599. Grot. p. 489. VALCKEN.

V. 1165. Brunckius et Erfurdtius ex cod. C. dederunt, *ποῖ, λόγων ἀμηχανῶν, ἔλθω*, bene, mea sententia, modo ne pravam interpunctionem adiecissent. Nam, ut recte monet Monkius, *ποῖ λόγων* iungenda sunt, qui tamen addere debebat, ad eumdem genitivum etiam participium *ἀμηχανῶν* referendum esse. Caeteri libri, *ποῖ λόγων ἀμηχάνων ἔλθω*, in cuius scripturae explicatione non mirum est torsisse se scholiastas.

V. 1166. Pro *γλώσσης* etiam *γνώμης* legi observat vetus scholiastes.

V. 1167. Signum interrogandi, quod post *ἄλγος* ponebatur, in comma mutavi. Nam *πρὸς τί* dictum pro *πρὸς ὅ τι*. Vide ad Aiac. 781.

V. 1168. Nemo facile probaverit scripturam codd. Ven. et Mosc. 2. *Ἠλέκτρα.*

ΗΛΕΚΤΡΑ.

τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.

ΟΡΕΣΤΗΣ.

οἴ μοι ταλαίνης ἆρα τῆςδε συμφορᾶς.

ΗΛΕΚΤΡΑ.

τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;

ΟΡΕΣΤΗΣ.

ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.

ΗΛΕΚΤΡΑ.

οὔ τοί ποτ' ἄλλην ἢ 'μὲ δυςφημεῖς, ξένε.

ΟΡΕΣΤΗΣ.

φεῦ τῆς ἀνύμφου δυςμόρου τε σῆς τροφῆς.

ΗΛΕΚΤΡΑ.

τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;

ΟΡΕΣΤΗΣ.

ὡς οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν.

ΗΛΕΚΤΡΑ.

ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;

V. 1170. Vide praefat. ad Oed. Col. p. 22.

V. 1173. De particularum *οὔ τοί ποτε* potestate vide ad Philoct. 1272.

V. 1175. Apud Suidam v. *ἐπισκοπῶν* legitur *τί μοί ποτ'*. Et ita cod. Monac.

V. 1176. De *ἄρα* v. ad Aiac. 1005. *Ἤιδη* a Brunckio repositum pro *ᾔδειν*.

ΟΡΕΣΤΗΣ.

ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.

ΟΡΕΣΤΗΣ.

καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;

ΗΛΕΚΤΡΑ.

ὁθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.

ΟΡΕΣΤΗΣ.

τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;

ΗΛΕΚΤΡΑ.

τοῖς πατρός. εἶτα τοῖςδε δουλεύω βίᾳ.

ΟΡΕΣΤΗΣ.

τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;

V. 1180. Plerique libri *τῶνδέ τ' ἐχθίω.* Brunckius ex suo cod. dedit *τῶνδ' ἔτ' ἐχθίω*, quem sequutus est Erfurdtius. Sic etiam codd. Harl. Mosc. 2. Ien. et Aug. b. Aliter scribi posset *τῶνδέ γ' ἐχθίω.*

V. 1182. Sane *τοῖς τοῦ* interrogat Orestes, quia Electra non dixerat, cuius occisores in mente haberet, ut observat unus e scholiastis: sed rectius ille adnotasset, eximiam et plane divinam vim in hac interrogatione esse, quum non, quasi nesciat, interrogat Orestes, sed in iram effervescens, ubi patrem occisum recordatur.

V. 1184. Non Brunckius, ut ait Erfurdtius, *ἀνάγκῃ* scripsit pro *ἀνάγκη*, quod in vulgaribus edd. est, sed et codd. veteres eam scripturam

ΗΛΕΚΤΡΑ.

μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.

ΟΡΕΣΤΗΣ.

τί δρῶσα; πότερα χερσίν, ἢ λύμῃ βίου;

ΗΛΕΚΤΡΑ.

καὶ χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.

ΟΡΕΣΤΗΣ.

οὐδ' ὁὑπαρήξων, οὐδ' ὁ κωλύσων πάρα;

---

habent, et Ald. utraque Iuntina, Brub. aliaeque, et scribi sic iusserat Reiskius, qui etiam *προςτρέπει* legendum putabat. At v. Oed. R. 358. Antig. 270. Aesch. Prom. 989. Plura dedit Elmsleius in censura editionis meae Euripidis Supplicum ad v. 296. in Diar. class. fasc. XVI. p. 426. s. *Ἀνάγκῃ τῇδε* non est dativus, idem significans, quod *εἰς ἀνάγκην τήνδε*, sed ablativus: quis te mortalium hac serviendi necessitate cogit? Quod exquisitius dictum, pro, quis tibi hanc necessitatem imponit? *Ἀνάγκῃ προτρέπει* idem est quod *ἀναγκάζει*: et quum *ταῦτα* dicere deberet, pronomen ad nomen *ἀνάγκῃ* accommodavit, ut solent.

V. 1185. Propter *ἐξισοῖ* neutrali significatione comparant hoc cum Thucyd. VI. 87. *Ἴσα πράττει* apud Sophoclem interpretatur Suidas v. *ἐξισοῖ*.

V. 1188. Edd. vett. *οὐδ' ὁὑπαρήξων, οὔθ'*. Brunckius et Erfurdtius male dederunt *οὔθ'. ὁὑπαρήξων, οὔθ'*. Recte codd. Ven. uterque Mosc. atque, ut puto, alii utrubique *οὐδ'* habent.

ΗΛΕΚΤΡΑ.

οὐ δῆθ᾽. ὅς ἦν γάρ μοι, σὺ προὔθηκας σποδόν.

ΟΡΕΣΤΗΣ.

ὦ δύςποτμ᾽, ὥς ὁρῶν σ᾽ ἐποικτείρω πάλαι.

ΗΛΕΚΤΡΑ.

μόνος βροτῶν νῦν ἴσθ᾽ ἐποικτείρας ποτέ.

ΟΡΕΣΤΗΣ.

μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.

ΗΛΕΚΤΡΑ.

οὐ δή ποθ᾽ ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;

ΟΡΕΣΤΗΣ.

ἐγὼ φράσαιμ᾽ ἄν, εἰ τὸ τῶνδ᾽ εὔνουν πάρα.

V. 1189. Cod. Harl. σποδῷ.

V. 1190. Aug. c. ὦ δύςμορ᾽.

V. 1191. Brunckii D. et Ven. ἐμὲ pro ποτέ. Harl. με σύ. Νῦν ποτὲ est nunc tandem aliquando.

V. 1192. Erfurdtius, argumentationem pravam esse iudicans, τοῖς ἴσοις dedit. Cui merito obiicit Schaeferus, non statim, qui misericordia tangatur, etiam in doloris societatem venire; praetereaque Electrae responsionem non convenire cum hac coniectura. Cod. Aug. b. τοῖς σοῖς. Aug. c. τοῖς σοῖς ξυναλγῶν. Quod nisi interpretationis speciem haberet, coniici posset, μόνος γὰρ ἥκω σοῖς ξυναλγήσων κακοῖς.

V. 1193. Cod. Harl. ἢ pro οὐ, et deinde ἥκει. De particulis οὐ δή ποτε dictum ad Philoct. 1272.

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἔστιν εὔνουν, ὥςτε πρὸς πιστὰς ἐρεῖς.

ΟΡΕΣΤΗΣ.

μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.

ΗΛΕΚΤΡΑ.

μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.

ΟΡΕΣΤΗΣ.

πείθου λέγοντι, κοὐχ ἁμαρτήσει ποτέ.

ΗΛΕΚΤΡΑ.

μή, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.

ΟΡΕΣΤΗΣ.

οὔ φημ' ἐάσειν.

ΗΛΕΚΤΡΑ.

ὤ τάλαιν' ἐγὼ σέθεν,

V. 1195. Lips. b. ἐρεῖν.

V. 1198. Nihil caussae erat, quare librorum scripturam πείθου Brunckius in πιθοῦ mutaret. Vide ad v. 1003.

V. 1199. Elmsleio ad Oed. R. 1522. legendum videbatur, μὴ πρὸς γενείου, μ' ἐξέλῃ τὰ φίλτατα. Idque repetiit ad Heracl. 977. Non opus. Ac vulgatam tuetur Eustath. p. 129, 15. (97, 31.) Cod. Monac. μὴ 'ξέλῃς.

V. 1200. Revocavi veterum librorum scripturam ὤ τάλαιν'. Brunckius et Erfurdtius ὢ dederant.

Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.

ΟΡΕΣΤΗΣ.

εὔφημα φώνει. πρὸς δίκης γὰρ οὐ στένεις.

ΗΛΕΚΤΡΑ.

πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;

ΟΡΕΣΤΗΣ.

οὔ σοι προςήκει τήνδε προςφωνεῖν φάτιν.

ΗΛΕΚΤΡΑ.

οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;

ΟΡΕΣΤΗΣ.

ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.

ΗΛΕΚΤΡΑ.

εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.

ΟΡΕΣΤΗΣ.

ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.

ΗΛΕΚΤΡΑ.

ποῦ δ' ἔστ' ἐκείνου ταλαιπώρου τάφος;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.

ΗΛΕΚΤΡΑ.

πῶς εἶπας, ὦ παῖ;

V. 1201. Ven. et MS. v. Livineii τῆς σῆς ὑστερήσομαι ταφῆς.

V. 1205. De constructione v. Schaefer. Melet. cr. p. 137 seq.

V. 1208. Suidas v. ἠσκημένον.

ΟΡΕΣΤΗΣ.
ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛΕΚΤΡΑ.
ἦ ζῇ γὰρ ἁνήρ;
ΟΡΕΣΤΗΣ.
εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛΕΚΤΡΑ.
ἦ γὰρ σὺ κεῖνος;
ΟΡΕΣΤΗΣ.
τήνδε προςβλέψασά μου
σφραγῖδα πατρός, ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛΕΚΤΡΑ.
ὦ φίλτατον φῶς.
ΟΡΕΣΤΗΣ.
φίλτατον, συμμαρτυρῶ.
ΗΛΕΚΤΡΑ.
ὦ φθέγμ', ἀφίκου;
ΟΡΕΣΤΗΣ.
μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛΕΚΤΡΑ.
ἔχω σε χερσίν;

V. 1216. Quod dicit, *μηκέτ' ἄλλοθεν πύθῃ*, cuiusmodi plurima reperiuntur, hanc vim habet, ut sit, ipse tibi dico.

V. 1217. Male Brunckius et Erfurdtius edide-

ΟΡΕΣΤΗΣ.

ὡς τὰ λοίπ' ἔχοις ἀεί.

ΗΛΕΚΤΡΑ.

ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.

ΧΟΡΟΣ.

ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

ΗΛΕΚΤΡΑ.

ἰὼ γοναί, στροφή.
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων,
ἐμόλετ' ἀρτίως,
ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.

ΟΡΕΣΤΗΣ.

πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόςμενε.

---

runt ὧς pro ὡς. Nam ὡς hic est sicut. Vide supra ad v. 125. et ad Aj. 904. Iidem ἔχοις, recte, quod pro var. lect. in cod. Ien. adscriptum. Reliquae edd. et plerique codd. ἔχεις: quidam codd. ἔχῃς.

V. 1220. Eustath. p. 647, 38. 1085, 65. (509. 23. 1115, 19.) Apud schol. Eurip. Orest. 61. legitur κἀπὶ συμφορᾷ γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο. Eamdem sententiam commemorans Nicephorus in scholiis ad Synesium p. 385. ἐπὶ συμφοραῖς γεγηθὸς etc.

V. 1221. Aug. b. c. ὁρῶ μὲν.

V. 1223. Brunckii membranae et E. cum codd Augustanis et Lipsiensibus et Mosc. 1. aliisque

ΗΛΕΚΤΡΑ.

τί δ' ἔστιν;

ΟΡΕΣΤΗΣ.

σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.

ΗΛΕΚΤΡΑ.

ἀλλ', οὐ τὰν Ἄρτεμιν,
τὰν αἰὲν ἀδμήταν,

---

codd. et Iunt. 2. bis praebent γοναί. Semel tantum Ald. Iunt. 1. et aliae vett. edd. et codd. Ven. Mosc. 2. alii.

V. 1228. τί δ' ἔστιν; cum littera paragogica codd. et edd. vett. Sed Aug. c. τί δ' ἔστι τοῦτο.

V. 1230. 1231. Plerique codd. et edd. vett. sic, ut dedimus: quidam libri scripti ἀλλ' οὐ μὰ τὰν vel τὴν Ἄρτεμιν, τὰν vel τὴν αἰὲν ἀδμήταν. Pessime Brunckius unum versum, quem trimetrum esse vult, ita composuit, ἀλλ', οὐ μὰ τάν γ' ἀδμήταν αἰὲν Ἄρτεμιν, qui si esset trimeter, sane cum Lobeckio ad Aiac. p. 242. ἀδμῆτιν vel ἄδμητον scribendum foret. At versus hi sunt iambici ischiorrhogici, ut quidem in libris scripti sunt: quamquam quum qui iis in antistropha respondent, optimum praebeant trimetrum, magna suspicio est fallere libros. Si non fallunt, comparari potest similis locus in Oed. R. 660. ubi ab numero ischiorrhogico initium fit, a quo vel statim ad dochmios, vel per dactylos cum anacrusi iambica transitur:

οὐ τὸν πάντων θεῶν
θεὸν πρόμον Ἅλιον,
ἐπεὶ ἄθεος ἄφιλος.

Nam medium horum membrum incertum est utrum dochmiacum sit, an dactylicum iambicam anacrusin habens.

τόδε μὲν οὔ ποτ᾽ ἀξιώσω τρέσαι
περισσὸν ἄχθος ἔνδον
γυναικῶν ὂν αἰεί.

ΟΡΕΣΤΗΣ.

ὅρα γε μέντοι, κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ᾽ ἔξοισθα πειραθεῖσά που.
ὀτοτοτοτοῖ, τοτοῖ,
ἀνέφελον ἐπίβαλες οὔ ποτε καταλύσιμον,

V. 1232. Delevi comma post *τρέσαι*. Neque enim, ut Monkius putat, *περισσὸν ἄχθος ὂν* nominativi sunt absoluti, sed accusativi, quos regit verbum *τρέσαι*. Sensus est: hanc quidem non dignam habebo, quam metuam, Clytaemnestrae nimiam semper severitatem.

V. 1235. Libri *γε μὲν δή*. Quod pridem reponi volueram *γε μέντοι*, etiam Blomfieldius restituendum censuit. Eadem emendatione opus Aeschylo Suppl. 281.

V. 1236. Hunc versum omittunt edd. Turn. Steph. Cant. et quae has sequuntur. Triclinii hoc factum puto iudicio, qui in antistropha unum tantum legi trimetrum vidisset.

V. 1237. Codd. et edd. vett. *ὀττοτοῖ*. Brunckius cum edd. quibusdam recentioribus *ὀτοττοτοί*. Mutanda haec sic putavi, ut antistrophicis responderent.

V. 1238. Livineii MS. p. *καλλύσιμον*. Caeterorum librorum scripturam tuentur etiam scholia Romana et Suidas, in v. *ἀνέφελον* afferens v. 1238—1241. Sensus est: apertum commemorasti numquam solubile, numquam obliviscendum, quale nostrum est, malum. *Λησόμενον* passive dictum observat

οὐδέ ποτε λησόμενον
ἀμέτερον
οἷον ἔφυ κακόν.

ΟΡΕΣΤΗΣ.

ἔξοιδα, ναὶ, ταῦτ᾽· ἀλλ᾽ ὅταν παρουσία
φράζῃ, τότ᾽ ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ΗΛΕΚΤΡΑ.

ὁ πᾶς ἐμοί, ἀντιστρ.
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκᾳ χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

Triclinius pro *ἐπιλησθησόμενον*. Scholiastes: *ὁ δὲ νοῦς· λήθης τυχεῖν μὴ δυνάμενον.*

V. 1239. Post hunc versum Brunckius male posuerat lacunae signa.

V. 1242. Libri omnes, *ἔξοιδα καὶ ταῦτ᾽*, quod mutavi, quia *καὶ* quomodo hic poni potuerit, non apparet. Vide ad v. 1437. Pro *παρουσία* Mosc. 2. *παρουσίαν*. Aug. c. *παῤῥησία*, cum glossa *ἡ μνήμη*. Cod. Ien. *παῤῥησίαν*, cum glossa *νοεῖς ὑπάρχουσαν*. Sensus est: ubi res praesens admonebit, tum haec recordari oportebit. Quod videtur sic dictum esse, ut ipsius Clytaemnestrae innuatur praesentia. E Musgravii coniecturis una ingeniosa est, *φράζειν* pro *φράζῃ*.

V. 1246. Aug. b. c. Ven. uterque Lips. uterque Mosc. Harl. edd. vett. *δίκαια*. *Δίκᾳ* scribi observant scholia Romana, et sic ex Triclinii sententia Turn. et quae hanc sequuntur, ac Brunckius.

ΟΡΕΣΤΗΣ.

ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.

ΗΛΕΚΤΡΑ.

τί δρῶσα;

ΟΡΕΣΤΗΣ.

οὔ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.

ΗΛΕΚΤΡΑ.

τίς οὖν ἂν ἀξίαν
γε, σοῦ πεφηνότος,
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐςεῖδον.

V. 1248. Pessime scholiastae *τόδε* interpretantur *τὸ ἐλευθεροστομεῖν*. Vbi Orestes monuerat, non esse tempus memorandae patris caedi, Electra nullum esse tempus ait, quo id sibi non dicendum putet, hoc innuens, ne nunc quidem id importunum esse. Orestes, aliter eius verba interpretans, recte, inquit, ais, quodvis tempus huic rei convenire: itaque mane in hac sententia, et differ in aliud tempus, quae nunc non opportuna sunt. De verbo *σώζεσθαι* hac significatione usurpato v. Elmsl. ad Bacch. 791.

V. 1251. 1252. Veterum codd. et edd. scripturam restituit Brunckius, male ille tamen hos versus in unum trimetrum coniungens: vide ad v. 1230. Turpiter haec interpolavit Triclinius: *τίς δῆτ' οὖν ἀξίαν σοῦ μοι φανέντος νῦν*. Ne quem offendat *γὲ* in principio versus positum, meminerit velim hos duo versiculos, si illi, ut

ΟΡΕΣΤΗΣ.

τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν

. . . .

ΗΛΕΚΤΡΑ.

ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος, εἴ σε θεὸς ἐπῶρσεν

---

videtur, ischiorrhogici sunt, una perpetuitate numeri cohaerere, ut potuerint etiam uno versu comprehendi. Sed ne legentibus ambigua esset numeri ratio, hic, ut saepius, membra versuum separare malui.

V. 1256. Aug. b. c. Ald. et vett. edd. *τότ' εἶδες, ὅτε θεοί μ' ὤτρυναν μολεῖν.* Sed Ven. uterque Lips. uterque Mosc. *ὅταν θεοί μ' ὤτρυναν.* Triclinii recensio, *ὅτε θεοί γέ μ' ὤτρυναν.* Cum Erfurdtio recepi Brunckii emendationem *ὅτε θεοί μ' ἐπώτρυναν.* Post hunc versum duorum versuum lacunam notavit Brunckius, trimetri, quem Orestes habuerit, et alius versiculi, quo ei Electra respondere inceperit. De trimetro verum vidit, non etiam de altero versu, ut iam ad Hecubam p. 71 seq. monui. Ac trimeter talem fere sententiam continuerit necesse est, *αὐτοὶ γεγῶτες τῆςδε τῆς ὁδοῦ βραβῆς.* Non enim apertius quid de oraculo Apollinis dictum fuisse, responsio Electrae indicat.

V. 1258. Triclinius quum in stropha *ὀτοττοτοῖ* positum videret, hic quoque eam interiectionem addidit, ineptissime. Recte eam ignorant et codd. et edd. vett. omisitque Brunckius, non tamen animadvertens, primum antistrophae versiculum respondere interiectioni in stropha positae.

V. 1259. Qui moras numerare satis habent,

ἁμέτερα πρὸς μέλαθρα·
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.

ΟΡΕΣΤΗΣ.

τὰ μέν σ' ὀκνῶ χαίρουσαν εἰργάθειν· τὰ δὲ
δέδοικα λίαν ἡδονῇ νικωμένην.

ΗΛΕΚΤΡΑ.

ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν ἐπῳδ.

---

hunc versum, qui vulgo et hic et in stropha in duos distinctus est, satis bene cum strophico congruere putabunt. At insolens hoc metri genus foret, praetereaque apertissimum est, hunc versum ex duobus dochmiis constare. Ex quo consequitur, aliquid vitii hic latere. Nec dubitandum videtur, quin syllabae singulae syllabis responderint, ut in toto hoc loco: nam *ἀνέφελον* in strophico versu epicorum more prima longa esse videtur. Itaque non ausim neque *εἴ σε θεὸς ἐπῶρσέ τις*, neque *εἴ σε θεὸς ἐπούρισεν* commendare, licet hoc quidem satis speciosum sit. Nam Hesychius: *ἐπούρισεν, ὥρμησεν, ἀπέπεμψεν*, ut eum ad hunc ipsum locum respexisse suspiceris. Idem: *ἐπουρίσας, ἐφορμήσας*. Sed veri similius esse puto, *ἐπῶρσεν* interpretationem esse, petitam e praegresso *ἐπώτρυναν*, Sophoclem autem *ἐβίβασεν* vel aliud similis potestatis verbum posuisse. Triclinius turpiter hunc locum ita mutilavit, *εἴ σε θεὸς ἐς μέλαθρα.*

V. 1262. Mosc. 1. *τοῦτο* pro *αὐτό.*

V. 1264. Triclinius *σε λίαν*. Omittunt *σε* libri veteres omnes.

V. 1265. Triclinius, ut trimetrum efficeret, *γε* addidit post *μακρῷ.*

ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με πολύπονον ὧδ' ἰδών,

ΟΡΕΣΤΗΣ.

τί μὴ ποιήσω;

ΗΛΕΚΤΡΑ.

μή μ' ἀποστερήσῃς
τῶν σῶν προςώπων ἡδονὰν μεθέσθαι.

V. 1267. Quum in uno libro scriptum invenisset Brunckius μή τι πολύστονον, omisso με, ut est etiam in Ven. sequutus est hanc scripturam, τι in τοι mutato. Solus codex Ienensis πολύπονον praebuit, quod metri caussa caeterorum librorum scripturae πολύστονον praetuli. Frequens est horum vocabulorum permutatio. In scholiis Romanis quod adnotatum est, ὧδ' ἰδών. γράφεται ὦ δ' ἰδών, non intelligo. Commemoratu dignum videtur, non spiritus, sed coronidis signum esse in littera ι: sed etiam in ω non spiritus, sed coronis posita.

V. 1269. Erfurdtius et Schaeferus Porsono obsequuti sunt, ad Eurip. Med. 734. ἁδονᾶν scribere iubenti, quod media forma ex Dawesii et Valckenarii decreto genitivum sibi postulet. Assentitur Monkius. At huiusmodi regulae eo plerumque vitio laborant, quod non ad omnes locos accommodari possunt. Μεθίεσθαι non magis quam λαμβάνεσθαι per se genitivum regit, sed tum demum, ubi partem alicuius rei omitti significamus. Vbi autem aliquid totum, quod nostrum est aut ad nos pertinet, nos omittere dicimus, nihil impedit, quin etiam accusativo utamur. Neglexerunt, qui regulam istam procuderant, Aeschyli locum, licet non vacuum menda, in Suppl. 856. κελεύω βίᾳ μεθέσθαι ἴχαρ

